



Early European Books, Copyright © 2009 ProQuest LLC.
Images reproduced by courtesy of the Royal Library, Copenhagen.
LN 308 4° copy 2




Early European Books, Copyright © 2009 ProQuest LLC.
Images reproduced by courtesy of the Royal Library, Copenhagen.
LN 308 4° copy 2



Early European Books, Copyright © 2009 ProQuest LLC.
Images reproduced by courtesy of the Royal Library, Copenhagen.
LN 308 4° copy 2



Early European Books, Copyright © 2009 ProQuest LLC.
Images reproduced by courtesy of the Royal Library, Copenhagen.
LN 308 4° copy 2



Early European Books, Copyright © 2009 ProQuest LLC.
Images reproduced by courtesy of the Royal Library, Copenhagen.
LN 308 4° copy 2



Early European Books, Copyright © 2009 ProQuest LLC.
Images reproduced by courtesy of the Royal Library, Copenhagen.
LN 308 4° copy 2

Early European Books, Copyright © 2009 ProQuest LLC.
Images reproduced by courtesy of the Royal Library, Copenhagen.
LN 308 4° copy 2



Early European Books, Copyright © 2009 ProQuest LLC.
Images reproduced by courtesy of the Royal Library, Copenhagen.
LN 308 4° copy 2

48,-5.

LN 308

ex. 2

BIBLIOTHECA REGIA HAFNIENSIS

Early European Books, Copyright © 2009 ProQuest LLC.
Images reproduced by courtesy of the Royal Library, Copenhagen.
LN 308 4° copy 2

Early European Books, Copyright © 2009 ProQuest LLC.
Images reproduced by courtesy of the Royal Library, Copenhagen.
LN 308 4° copy 2

Early European Books, Copyright © 2009 ProQuest LLC.
Images reproduced by courtesy of the Royal Library, Copenhagen.
LN 308 4° copy 2

AGAPETI PARAENESES AD JUSTINIANUM, hactenus Græcè & Latinè, jam autem correctius editæ metricisq; legibus illigatæ studio & opera

PET. IVARI BORRICHI.



Ναζ.
ψυχὴ πᾶσα ἀνουθέτητος, ἀθεράπευτος.

Roſtochii excudebat Stephanus Myliander,
Anno M. D. XCIV.

Early European Books, Copyright © 2009 ProQuest LLC.
Images reproduced by courtesy of the Royal Library, Copenhagen.
LN 308 4° copy 2

SERENISSIMO PRINCIPI

tàm ſuis Virtutibus quàm Regijs decoribus illuſtriſsimo

DN. CHRISTIANO

Danorum, Norvagorum, Gothorum, & VVandalorum REGI: Sleſvici, Holſatiæ, Stormariæ DUCI: COMITI in Oldenburg & Delmenhorſt, Domino ſuo clementiſsimo.

QVód hocce munuſculum, Potentiſsime Princeps, coram Regia tuæ Maieſtate, hoc præſertim tempore, quo uberrimus eſt ſplendidiorum proventus, præſento: non tam fortè facit edendi hujus auctoris neceſsitas, cui medendæ doctiores incumberent: quàm humilis mei obſequij denuntiatio, cujus prædem atq; ſponſorem eundem poſthac fore ſuppliciter peto, ſuſpicans ſaluberrimas, quas ſuppeditat admonitiones, etiam pientiſsimarum tuarum cogitationum comites & conſiliarios opportuniſsimos futuras. Laudabilis certè fuit ſuperioris memoriæ hominum, qui ſapientiæ nomine celebres

B.R.H.
BIBLIOTHECA REGIA HAFNIENSIS

Early European Books, Copyright © 2009 ProQuest LLC.
Images reproduced by courtesy of the Royal Library, Copenhagen.
LN 308 4° copy 2

celebres fuerunt, conſuetudo, præcepta de Pietate, de Virtute & Honeſtate, ac deniq; de totius vitæ honeſtæ informatione, axiomatis, quæ concinna & erudita brevitate multa monerent, promulgare. Hujusmodi ſunt Solonis opulentiſsimi & Sapientiſsimi Regis Proverbia & Eccleſiaſtes: Liber Hebraicè dictus Pirke abboth, ſeu Patrum capitula: Catinus argenteus ſive quinquaginta ſententiæ Hebræorum, item Syracidæ: juxtà etiam Patrum & Theologorum, ut puta Maximi Epiſcopi de Charitate quatuor centuriæ: Thalaſii Cæſarienſis Epiſcopi Hecatondes ſententiarum quatuor: Marci Heremitæ κεφάλαια: Carpathij: Nazianzeni: Baſilij magni: Onoſandri de Imperatoris officio: Nili Epiſcopi & Martyris ὑποθῆκαι omni Nectare & Ambroſia ſuaviores, quas ſtudioſæ juventuti propediem ſimili orationis genere legendas dabimus, ſi Deus nobis vitã & otium. Nonnè hoc etiam pacto in monumenta promptas habemus ſeptem Sapientum ſententias, quas ita amplexabatur ſapiens antiquitas, ut foribus templorum atq; etiam templi Delphici inſculperentur, cujus

rei te-

rei teſtis erit Plato in Charmide & alibi: Pauſanias in Phocicis: Plinius lib. 7. cap. 32. & Ariſtoteles lib. 1. Ethicorum ad Nicomachum. Similis conſuetudo obſervata fuit in Epidauro Achajæ Civitate, de qua Clemens Alexandrinus lib. 5. στρωμάτων. Apud nos etiam in celeberrima hac Schola, ex laudabili præſcripto clariſſimi & memoratiſſimi viri Dn. M. Joh. Michaelis, præceptoris & prædeceſſoris noſtri Reverendiſſimi, non diſparilis conſuetudo inoleuit, ut in ſingulos dies diſcipuli noſtri hujusmodi præcepta parænetica in utraq; lingua, præter ordinarias lectiones, quilibet unum diſcat: quo ſanè exercitio vitæ & mores ipſorum exornantur: decus & gratia orationibus adduntur: atq; etiam argumentum de rebus cogitandi & ſcribendi ſuggeritur. Quid dicamus de Pyttheo, avo materno Theſei, de quo Plutarchus in vita Theſei Regis Athenienſium? Quid de Symbolis Pythagoricis, in quibus tanquam oraculis vetuſtæ ſapientiæ igniculi latent de multis, quorum in vita monendi erunt homines. Quid de Phocilide Μυσταγωγῷ τῶν ἀρίστων περικλέων καὶ αἰδρῶν τῷ

σοφωτάτῳ

σοφωτάτῳ; Quid de Iſocratis libello de Regis &
& ſubditorum officio? Quid de Epicteti Enchiridio ſanè aureo? Quid deniq; de Theophraſto Philoſopho, Platone, Ariſtotele, Gemiſto Plethone, Xyſto Philoſopho, Theoctiſto, Tabula Cebetis Studioſiſsimo cuiq; jucundiſsimè amplexanda, ut cum Cœlio loquar. Item de Pythagoreis, Hippodamo Thurio, Euryphamo, Hipparco, Archita, Theage, Metopo, Clinia, Critone, Polo, quorum fragmenta in ſimili argumento habemus. Hæc autem quæ ita ſapiēter prolata leguntur ab Ethnicis: aut ex ſcriptis Sibyllarum, quæ procul dubio auditores fuerunt & reliquiæ Eccleſiæ patrum, depromſerunt: aut ex oraculis petiverunt: aut etiam rectæ rationis ductum ſecuti promulgarunt. Nihil jam dicemus de Latinis qui pleraq; ex Græcis fontibus ſua, quæ tradiderunt, hauriebant, quemadmodum id ſatis ſuperq; comprobat unanimis Doctorum conſenſus: quapropter nos manum de tabula. Sed quorſum hæc apud auguſtiſsimam tuam perſonam ô Rex? quaſi ſcilicet Regiam tuam Majeſtatem ſubditi tui ſermonibus interpellari liceat?

Sitvè intra lineam nequis, qui rectius ornati-
usq; hujusmodi repræſentet?

Ego tamen ob id Regia tua beneficia in me cum ſcelere claudi non patiar, quibus totum quod in hoc exercitij genere (quod ſentio quàm ſit exiguum) ſum conſecutus, ſumma cum animi devotione acceptum refero.

Faxint alij, quod facere tenentur, idq; liberalius, ſi liberalitas hic dici poſſit: Ego certè eorum exemplum, qui ampliore preſſi penuria, ſalſã molam, thura, lac, nicolaos, palmas, caſeum, τρωκτὰ ὡραῖα, vel id genus primitias alias, aliavè leviuſcula olim acceptiſſimè obtulerũt, ob oculos mihi proponens, ex meo paupere penu depromo non minore cum alacritate, quàm ij, qui ex opulentiſſimis theſauris ſplendidiſſimis donis T. Majeſt: ornare, atq; ornatam venerari aliquando ſatagunt. Ni enim & hoc penſiculatè mecum cogitarem, & ſtudioſè facerem, mea ipſius voce judicatus, omnimodè indignus cenſerer, ut vel minima hujus ævi uſura, quo feliciſſimè jam ſub tuo Auguſtiſſimo imperio vivitur, mihi benignè concederetur.

ut igitur hoc debitum ratificarem (nun-

quam

quam dicere poſſum exſolverem) q̃ali hac mea devoti animi teſtificatione, non verebar coram tua erugata & renidente, immò nitidiſsima facie præſentem me ſiſtere: omnino confidens T. Majeſt: penitius rem ipſam intuituram, quàm vel perſonæ obſcuræ vilitas, vel nominis vilioris obſcuritas mereri poterit: (Sed qui poteſt docere, doceat, & ubi virtus eſt, appareat).

Atq; ſic olim Perſarum Rex propter ampliſsimam munificentiam erga Eccleſiam inclytiſsimus ARTAXERXES feciſſe legitur, qui ſumma prudentia & morum gravitate præditus, non rei quæ dabatur vel inopia vel uſu, ſed alacri dantis voluntate, gratiam metiebatur adjudicans non verbis modò, verùm & ipſa re, nil minus eſſe amplitudinis Regiæ & animi præcelſi, parva, ſi offerantur, lætè excipere, quàm magna.

Hujus & aliorum pientiſsimorum ac ingentis generoſiq; Spiritus Regum exempla, quum (laus DEO) ſatis ſuperq; conſtet T. Majeſt: ſumma cum animi alacritate æmulari, ac reipſa eadem laudabilioribus augere, potius

Early European Books, Copyright © 2009 ProQuest LLC.
Images reproduced by courtesy of the Royal Library, Copenhagen.
LN 308 4° copy 2

potius Apellis exemplo, qui artificium Protogenis in depicto Iälyſo videns mutus ſubſtitit, & admirabili contemplatione ſtupefactus, mirari quam hortari, conſilium hic eſto. Quis enim Soli lumen inferre potis fuerit? Qui igitur eſt Rex τῶν βασιλευόντων καὶ βασιλευομένων *(ut cum noſtro Agap. loquar) faxit, ut & hic ſub tuo feliciſsimo imperio tuti, & in ſummi Regis Chriſti fratris noſtri Regno in gloria ſempiterna tecum beati ſimus. Amen Amen. Dabantur in libera Schola Herlovisholmenſi. Anno M. D. XCIV. ſupra ſeſquimilleſ. à Chriſto nato. Menſe verò Majo.*

Regiæ T. M.

Subditiſs.

PET. IVAR. B.

Ad

Ad Auctorem, Præceptorem S. opt. chariſſ. JACOBI TILEMANNI liberæ Herlovisholmenſis Scholæ alumni

ὀκτωστιχόν.

IN gracis dum tu deſudas PETRE tabernis,
De quibus eximium provenit artis opus,
Prodit mentis opus tinctum dulcedine mellis,
Decantans gnati prodiga fata vagi.
Prodit mentis opus per glaſtea vaſcula fellis
Exponens blandæ triſtia amicitiæ.
Prodit mentis opus fletu lachrymabile multo,
Propoſitum multis hoc pietatis opus.
Prodit nunc metricè repetita παραίνεσις αὐτοῦ
τοῦ Ἀγαπητοῖο πλέγμασι σεῖο καλοῖς.
Prodibit tandem, niſi nos promiſſio fallat
Grata: vel ingratis fiat id artis opus.
Quanta igitur fuerit laus hæc antlâſſe, probabit
Nobilis HERLUFFI Marte vel arte, cohors.
Attamen exiguum fuerit quum dicere laudes,
Laudibus adjungat CÆTERA turba potens.

CHORIAMBICuM FRANCISCI Georgii Neſtvedenſis, ejuſdem Scholæ alumni, ad eundem.

Νῦν ἐς' εὐπέταλον καὶ χλοερὴν ὅλην
Ἐν κύκλῳ βλεπέμεν γαῖαν ἀειθαλῆ
Δάνων, εἵνεκα τούτοιν παρ' ἄνακτι μοὶ
Οὕτοιν· τοῦ ζάθεον τὸν θεὸν εὐσεβεῖν:
Παιδευτάς τε λαβεῖν πιστοτάτους μάλα.
Νῦν οὖν διχθάδιον μαλθακὰ ἀθρόοι
Αἰνεῖτ' εὐτυχίης εὔφρονος αἴτιον.
Παιδευτοῖο τυχόντος χάρις ἔσσεται
Ἡγητῆρα διδάσκων περιδέξιον
Δὶς δισσῶς λαβέτω ποσαπὴν χάριν.
Νῦν νῦν οὖν χάριτος στέμμα κομίζετε
Στίλβον τηλόθι γῆς εὐπετάλοις χλοῆς
Αὐτῷ, τὸν σοφίῃ θεῖον ἐπέστεφε
Καὶ οὐ ἡγεμόν' ὀρθῶσι παραινέσεσι.

Latinè

Latinè ſic.

Vernantis minor eſt gratia temporis,
Quàm regni decor eſt nunc pote Daniæ:
Quorundam quoniam cura ſit eminens,
ut poßit juvenis proba monitio
Præceptis animum valdè ſalubribus
Formare eximium ſummeq; Regium.
Jlli, cum, dociles qui impulit ad bonos
Mores diſcipulos tantula gratia eſt:
Qui mores juveni ponere Regio
Curat, conveniet tantula gratia?
Nunc nunc ô igitur ſumite lauream,
Quam vos poſtmodo diſtinguite floribus,
Ponentes capiti cuilibet eſt Diis
Sacro: nunc charites ſumite lauream.

Early European Books, Copyright © 2009 ProQuest LLC.
Images reproduced by courtesy of the Royal Library, Copenhagen.
LN 308 4° copy 2

ΚΕΦΑΛΑΙΑ ΠΑΡΑΙΝΕΤΙΚΑ

τοῦ ΑΓΑΠΗΤΟΥ τὰ μετὰ μέτρου πεποιημένα καὶ συγγεγραμμένα πρὸς τὸν Δανῶν καὶ Νορβαγιανῶν καὶ τῶν ἄλλων λαῶν θειοτάτῳ καὶ εὐσεβεστάτῳ βασιλεῖ ΧΡΙΣΤΙΑΝΩι ΤΕΤΑΡΤΩι παρὰ Πέτρου τοῦ Βορριχίου ὑπηρέτου μετὰ τῆς ταπεινότητος ἐπιμοτάτου.

I.

Παμπόλλης, βασιλεῦ, ὃς ἔχεις κλέος ἐν μερόπεσσιν
ἄφθιτον, εὐαρέσιν ἡμῆς βασιλῆα μόναρχον
Πρῶτον λατρεῦσαι καὶ εἰσέκ' ἄϋλος αὐτμὴ
ἐν στήθεσσι μένῃ καί σοι φίλα γούνατ' ὀρώρῃ.
ὅττε ἐπουρανίου καθ' ὁμοίωσιν βασιλείης
σοὶ χθονὸς εὐρυχόρου χρύσειον σκῆπτρον ἔδωκε,
ὄφρα δίκην γλυκερὴν ἀνθρώπους σφόδρα διδάξῃς
ἰθυτέροισιν ἀεὶ αὐτοὺς θεσμοῖσι δικάζων.

II.

Νοῦς σέθεν, ἐσσεῖται πολυόμματος ἠδὲ ἄγρυπνος
εἴηκας θέμιδος παναληθέος εὔφρονας ἴχνων,
κύματα κ' ἀδικίης σφαλερῆς κρατερῶς ἀπελαύνων·
ὡς πολιτηΐης σκάφος αὐτοῖς μὴ περιπίπτῃ.

Πρῶτα

ΕΚΘΕΣΙΣ ΚΕΦΑΛΑΙΩΝ ΠΑΡΑΙΝΕΤΙΚΩΝ

σχεδιασθεῖσα παρὰ ΑΓΑΠΗΤΟΥ διακόνου τῆς ἁγιωτάτης τοῦ Θεοῦ μεγάλης ἐκκλησίας, ὧν ἡ ἀκροστιχὶς ὧδέ πως ἔχει.

ΤΩι ΘΕΙΟΤΑΤΩι ΚΑΙ ΕΥσεβεστάτῳ βασιλεῖ ἡμῶν ΙΟΥΣΤΙΝΙΑΝΩι, ΑΓΑΠΗΤΟΣ ὁ ἐλάχιστος διάκονος.

Τιμῆς ἁπάσης ὑπέρτερον ἔχων ἀξίωμα, Βασιλεῦ, τιμᾶς ὑπὲρ ἅπαντας τὸν τούτου σε ἀξιώσαντα Θεόν· ὅτι καὶ καθ' ὁμοίωσιν τῆς ἐπουρανίου βασιλείας ἔδωκέ σοι τὸ σκῆπτρον τῆς ἐπιγείου δυναστείας, ἵνα τοὺς ἀνθρώπους διδάξῃς τὴν τοῦ δικαίου φυλακήν, καὶ τῶν κατ' αὐτοῦ λυσσώντων ἐκδιώξῃς τὴν ὑλακήν, ὑπὸ τῶν αὐτοῦ βασιλευόμενος νόμων, καὶ τῶν ὑπὸ σὲ βασιλεύων ἐννόμως.

Ὡς κυβερνήτης ἀγρυπνεῖ διαπαντὸς ὁ τοῦ βασιλέως πολυόμματος νοῦς, διακατέχων ἀσφαλῶς τῆς εὐνομίας τοὺς οἴακας, καὶ ἀπωθούμενος ἰσχυρῶς τῆς ἀνομίας τοὺς ῥύακας, ἵνα τὸ σκάφος τῆς παγκοσμίου πολιτείας μὴ περιπίπτῃ κύμασιν ἀδικίας.

EDITIO CAPITuM ADMONItoriorum

facta ex tempore ab AGAPETO Diacono ſanctiſsimæ Dei magnæ Eccleſiæ, quorum inſcriptio ſic pote habet.

DIVO ET PIENTISSImo Imperatori noſtro JuSTINIANO, AGAPETuS minimus Diaconus.

Honore quolibet ſublimiorem quum habeas dignitate, ô Imperator, honoras ſupra omnes, qui hoc te dignatus eſt, Deum: quoniam ad ſimilitudinē cœleſtis regni tradidit tibi ſceptrū terrenæ poteſtatis, vt homines edoceres iuſtitiam, & eorum, qui adverſus ipſum rabiunt, expelleres latratum, tum ipſius obtemperando legibus, tum ſubditos tibi regendo pro jure.

Ceu gubernator vigilat perpetuò Imperatoris oculatiſsimus intellectus, continens tutò æquitatis clavos, atq; expellēs fortiter impetuoſos iniquitatis fluctus, ne cymba mundanæ reipublicæ fluctibus iniquitatis illidatur.

Early European Books, Copyright © 2009 ProQuest LLC.
Images reproduced by courtesy of the Royal Library, Copenhagen.
LN 308 4° copy 2

III.

Πρῶτον καὶ θεῖον πέλεται μερόπεσσι μάθημα,
Σφόδρα γνωρίζειν τὸν ἑαυτὸν πᾶσιν ἐν ἔργοις.
αὐτὸν γνωρίζων, θεὸν αὐτὸν γνώσεται αὐτὸς,
καὶ θεὸν ἐγνωκὼς, πάμπαν τῷ ἐίσεται αὐτῷ,
αὐτῷ καὶ σύμπας, ὃς δὴ ἄξιός ἐστιν ἀληθῶς,
ἄξιός ἐστι θεοῦ, ἐσθλὴν τὰ ἀνάξια ῥέζων,
ἀλλὰ δὲ ὁρμαίνων τὰ κατὰ φρένα καὶ κατὰ θυμὸν
τοῦ θεοῦ, ἠδὲ φρένας σφαλερὰς καὶ ἡδὺ λάλημα
ἐν φαίνων· οὗτος ἐναλίγκιός ἐστι θεοῖσι.

IIII.

Οὐδεὶς εὐγενέος χάριν αἵματος ἦτορ ἀγήνωρ
ἔστω, μηδὲ κάρη τε καὶ ὄμματα γοργὰ φερέσθω.
πάντες ὁμῶς εἰσιν γένος οἱ ἄφατοί τε φατοί τε
Συρόμενον κατὰ γῆς δνοφερῆς διαλυόμενόν τε,
καὶ λευκοῖς φαρέεσσι καλυψάμενος χρόα καλὸν,
καὶ νούσῳ πενίῃ τε τειρόμενοι ἀλγινόεσσῃ.
ἄρα γε μὴ χθόνιον γένος, ἐκ χθονὸς αἷμα φέροντες
ῥιπλάζεσθε, ἀπὲρ ἢ θεοκεφάλων δρεπαίων
μᾶλλον τῆς νοερῆς ἀκτίνεσσιν μάλ᾽ ἕπεσθε,
ἧς δνοφόεις βίοτος λαμπρῶς φωτίζεται ὑμῶν.

V.

Ἴσθι ὦ θεόπλαστον ἔχων ἐν εἰκόνι μορφὴν
καί τε ἄγαλμα θεοῦ περικαλλὲς πολλὰ ὀφείλεις
πολλὰ λαβὼν, χάριτος χρέος ἐκοῦν περίκ᾽ ἀποδώσεις
εὐεργέτῃ λύψον τόδε χρέος ὡς χάριν αἰεὶ
αἰεὶ γὰρ περίφρων θεός ἐστιν ἴσην ἀποτῖσαι.

τὴν

Early European Books, Copyright © 2009 ProQuest LLC.
Images reproduced by courtesy of the Royal Library, Copenhagen.
LN 308 4° copy 2

Θεῖον μάθημα καὶ πρῶτον, οἱ ἄνθρωποι, τὸ γνῶναί τινα ἑαυτὸν διδασκόμεθα. ὁ γὰρ ἑαυτὸν γνοὺς, γνώσεται θεόν. θεὸν δὲ ὁ γνοὺς, ὁμοιωθήσεται θεῷ. ὁμοιωθήσεται δὲ θεῷ, ὁ ἄξιος γινόμενος θεοῦ. ἄξιος δὲ γίνεται θεοῦ, ὁ μηδὲν ἀνάξιον πράττων θεοῦ, ἀλλὰ φρονῶν μὲν τὰ αὐτοῦ, λαλῶν δὲ ἃ φρονεῖ, ποιῶν δὲ ἃ λαλεῖ.

Divinum documentũ & potiſsimum,nos homines, vt cognoſcat ſe quiſq; edocemur. Qui n. ſeipſum nouit,cognoſcit Deũ. Deum verò qui cognouit, aſsimilabitur Deo. Aſsimilabitur autẽ Deo, qui dignus factus eſt Deo. Dignus deniq; fit Deo, qui nihil indignum patrat Deo, ſed qui vt cogitat, quæ ipſius ſunt, ita tàm loquitur quàm cogitat, facit & quæ loquitur.

Ἐπὶ προγόνων εὐγενείᾳ μηδεὶς ἐναβρυνέσθω· πηλὸν γὰρ ἔχουσι πάντες τοῦ γένους προπάτορα, καὶ οἱ ἐν πορφύρᾳ καὶ βύσσῳ καυχώμενοι, καὶ οἱ ἐν πενίᾳ καὶ νόσῳ τρυχώμενοι, καὶ οἱ διαδήματα περικείμενοι, καὶ οἱ διὰ δώματα προσμείμενοι. μὴ τοίνυν εἰς πήλιον ἐγκαυχώμεθα γένος, ἀλλὰ ἐπὶ χρηστότητι σεμνυνώμεθα τρόπων.

Majorum nobilitate ne quis delicietur: Limũ .n. habent omnes generis auctorem, & qui purpura byſſoq; turgent, & qui paupertate & adverſa valetudine affliguntur, tum qui diademate redimiti ſunt, quàm qui per cubicula excubant. Ne igitur lutulentũ iactemus genus, ſed morum integritate gloriemur.

Ἴσθι, ὦ εὐσεβείας θεότευκτον ἄγαλμα, ὅτι ὅσῳ μεγάλων ἠξιώθεις παρὰ θεοῦ δωρεῶν, τοσούτῳ μείζονος ἀμοιβῆς ὀφειλέτης ὑπάρχεις αὐτῷ. οὐκοῦν ἀπόδος τῷ εὐεργέτῃ τὸ χρέος τῆς εὐχαριστίας, τῷ λαμβάνοντι τὸ χρέος ὡς χάριν, καὶ τῆς χάριτος χάριν ἀντιδόντι. αὐτοὺς γὰρ ἀεὶ καὶ χαρίτων ἀρχεί, καὶ ὡς χρέος τὰς χάριτας ἀπο

Scito ô pietatis divinitus fabricatum ſpecimen, quòd quantò majoribus dignus habitus es, tribuente Deo, muneribus, tantò majus ipſi nomen haberis. Ergo redde benefactori debitum gratitudinis, acceptanti debitum ut meritum, & beneficio beneficium rependenti: Ipſe enim ſemper & beneficiis prior promeretur, & ut debitũ beneficia repen-

τὴν χάριν, ἢ μᾶλλον τὴν μείζονα τόφρα ἀμοιβήν.
αὐτὴν γὰρ χάριτα, στέργει θεὸς, οὐ δίχα ἔργων.
αὐτὴν τὴν χάριτα στυγέει πολυφραδέα μοῦνον.

VI.

Οὐδὲν ἐν ἀνθρώποις οὕτως ὀνόμαστον ἕκαστον
ἄνθρωπον ποιεῖ, κρατερῶς ὡς πολλάκι ῥέζειν
ὅσσα θέλει τε καὶ ὅσσα φρεσὶν ᾗς ἧσι μενοινᾷ.
Σοὶ δ᾽ ἐπεὶ τοίνυν θεόθεν δύναμις κεχάρισται,
ἧς, χάριν ἡμείων, σέοθεν χατέεσκεν ἐέλδωρ.
βούλεο καὶ ποίει, ὡς βούλεται ὅς σε ποίησε.

VII.

Ὄλβος τῶν πάντων πανομοίϊος ἴχνεσι νηὸς,
καὶ ποταμοῦ πέλεται δεινοῖς κ᾽ αἰπεῖσι ῥεέθροις.
πᾶσι δ᾽ ἐπ᾽ ἀνθρώποις ῥευστὴν φύσιν ἔλλαχεν αὐτός·
ἄλλοτε γὰρ κ᾽ ἄλλον παραμείβεται, ἄλλοτε ἄλλον:
ἔμπεδος ἀλλὰ μένει θησαυρὸς ἐνὶ μερόπεσσιν,
ἡ εὐεργεσίη, τὴν ἄνδρες πάντες ἄριστοι
καὶ θεὸς ὤριστος φιλέει ἀντάξι᾽ ὀπάζων.

VIII.

Ἀστιβος αὖ δὲ πέλει διὰ τῆς χθονίης βασιλείης
ὕψος ἀγακλειτὸν, διὰ κάρτος κ᾽ ἠϋπείσιλος
οὐράνιον, κάμπτουσι τὰ γούνατα πᾶσ᾽ ἱκέτησιν.
οὔατα τειρομένῳ πενίῃ χαλεπῇ περ ἀνοίγεις,
ὄφρα θεοῦ λεύσσῃς ὄψιν χαρίεσσαν ὀπωπὴν,
οὔατα καὶ αὐτοῦ ἀνεῳγμένα, ἶφι γεγηθώς.
αἰὲν ἀμοιβαίη χάρις ἔσσεται εὐλογιάων.

IX.

Χρὴ

ἀποδίδωσιν. εὐχαριστίαν δὲ ζητεῖ παρ' ἡμῶν, οὐ τὴν διὰ ῥημάτων ἀγαθῶν προσφορὰν, ἀλλὰ τὴν διὰ πραγμάτων εὐσεβῶν προσφοράν.

Οὐδὲν οὕτως εὐδόκιμον ἐργάζεται ἄνθρωπον, ὡς δύνασθαι μὲν ἃ βούλεται πράττειν, ἀεὶ δὲ φιλάνθρωπα καὶ βούλεσθαι καὶ πράττειν. ἐπεὶ δὴ τοίνυν ἐκ θεοῦ σοι κεχάρισται δύναμις, ἧς ἐδεῖτο δι' ἡμᾶς ἡ ἀγαθή σου βούλησις, πάντα καὶ βούλου, καὶ πράττε, ὡς ἀρέσκει τῷ ταύτην σοι δεδωκότι.

Τῶν ἐπιγείων χρημάτων ὁ ἄστατος πλοῦτος, τῶν ποταμίων ῥευμάτων μιμεῖται τὸν δρόμον. πρὸς ὀλίγον μὲν ἐπιῤῥέων τοῖς ἔχειν νομίζουσι· μετ' ὀλίγον δὲ παραῤῥέων εἰς ἄλλους ἀπέρχεται. μόνος δὲ τῆς εὐποιΐας ὁ θησαυρὸς μόνιμός ἐστι τοῖς κεκτημένοις αὐτόν· τῶν γὰρ ἀγαθῶν ἔργων αἱ χάριτες ἐπὶ τοὺς ποιοῦντας ἐπαναστρέφουσιν.

Ἀπρόσιτος μὲν ὑπάρχεις ἀνθρώποις διὰ τὸ ὕψος τῆς κάτω βασιλείας· εὐπρόσιτος δὲ γίνῃ τοῖς δεομένοις διὰ τὸ κράτος τῆς ἄνω ἐξουσίας. καὶ ἀνοίγεις τὰ ὦτα τοῖς ὑπὸ πενίας πολιορκουμένοις, ἵνα εὕρῃς τὴν τοῦ θεοῦ ἀκοὴν ἀνεῳγμένην· οἷοι γὰρ ἂν τοῖς ἡμετέροις γινώμεθα συνδούλοις, τοιοῦτον περὶ ἡμᾶς εὑρήσομεν τὸν δεσπότην.

repenſat. Gratitudinem autem exigit à nobis,non quæ verborum blandorũ prolatione, ſed quæ rerum piarum oblatione peragitur.

Nulla res adeò commendabilem reddit hominem,ut poſſe quidem quæ velit, efficere, ſemper autem humana & velle & agere. Quoniam igitur à Deo tibi donata eſt facultas, qua indigebat propter nos bona tua voluntas, omnia & velis & agas, prout ei placet, qui eam tibi dedit.

Terrenarum opum inſtabiles divitiæ fluvialium undarũ imitantur curſum. Modicum enim affluunt his, qui habere ſe eas arbitrantur: mox verò refluentes ad alios devolvuntur. Solus autem beneficentiæ theſaurus ſtabilis eſt poſſidentibus eum: bonarũ .n. actionũ meritum ad auctores retorquetur.

Inacceſſus quidẽ ex iſtis hominib. propter celſitudinẽ hujus terreni imperii: acceſſu autem facilis indigentibus ob vim ſupernæ illius poteſtatis. Atq; aperis aures his,qui à paupertate obſidentur, ut invenias Dei auditum adapertũm. Quales .n. erga noſtros fuerimus conſervos,talem erga nos reperiemus Dominum.

Χρὴ νόον ὑψιθρόνου μάλ᾽ ἀποσμήχειν ἄνακτος,
πολλάκι μαρμαίρειν κ᾽ ἀμφαύσσειν ἠΰτ᾽ ἔσοπτρον,
ὄφρα στράπτηται νοερὰς σπινθῆρας ἰάλλων,
ὧν διὰ τοῖς λαοῖσι δίκην ἰθεῖαν ὀρέξει.
τὴν δ᾽ ἀμώμητον, μὴ λώϊόν ἐστι, φυλάσσειν.

X.

Ὥσπερ ἐν ὠκυάλοις νηυσὶν ποτεμηπόρος ἀνὴρ
τι σφάλλων, μικρὸν τοῖς ἄλλοις πῆμα κορύσσει·
ἀλλὰ κυβερνητῶν, οἳ ἔχον τ᾽ οἰήϊα νηῶν,
πλαζόντων, πάντες λυγρὸν μόρον οὐκ ἀλέονται:
οὕτω ἐνὶ πόλεσιν πολιήτης ὁππότ᾽ ἀλείτῃ,
οὐ τόσον βλάπτει πολιτείην ὅσον ἑαυτόν.
ἀλλ᾽ ὅταν ἡγεμονεὺς σκηπτοῦχος ἀτάσθαλα ῥέζει.
ἄγχι παρέστηκε θάνατος καὶ μοῖρα κραταιή.
πάντα γὰρ ἐργάσεται κατὰ κόσμον καὶ κατὰ μοῖραν
Ἀρχῶν, καὶ λέξει μάλα ὅσσα κελεύσει ἀνάγκη.

XI.

Ἄστατος ἀνθρώπων μεροπήϊα πρήγματα κύκλος,
ἄλλοτε ἄλλα φέρει τε καὶ ἄλλοτε ἄλλα κυλίνδει·
καὶ τούτων πάντων μία οὐ στάσις ἐστὶν ἀληθῶς.
Κοίρανε γοῦν λαῶν προφερέστατε αἰὲν ἀμοιβὴν
χρή σε σκοπεῖν ταύτην καὶ ἔχειν ἀμετάτροπον ἦτορ
κ᾽ ἀθάνατον ψαλμοῖς ἠδ᾽ εὐεπίῃσιν ἀείδειν.

XII.

Βωμολόχους κόλακας καὶ ψωμολέθρους παρασίτους

ὥσπερ

Early European Books, Copyright © 2009 ProQuest LLC.
Images reproduced by courtesy of the Royal Library, Copenhagen.
LN 308 4° copy 2

Τὴν πολυμέριμνον τοῦ βασιλέως ψυχὴν κατόπτρου δίκην ἀποσμήχεσθαι χρὴ, ἵνα ταῖς θείαις αὐγαῖς ἀεὶ καταστράπτηται, καὶ τῶν πραγμάτων τὰς κρίσεις ἐκεῖθεν διδάσκηται· οὐδὲν γὰρ οὕτω ποιεῖ τὰ δέοντα καθορᾶν, ὡς τὸ φυλάσσειν ἐκείνην διαπαντὸς καθαράν.

Ὥσπερ ἐπὶ τῶν πλεόντων, ὅταν μὲν ὁ ναύτης σφαλῇ, μικρὰν φέρει τοῖς συμπλέουσι βλάβην. ὅταν δὲ αὐτὸς ὁ κυβερνήτης παντὸς ἐργάζεται τοῦ πλοίου ἀπώλειαν. οὕτω καὶ ἐν ταῖς πόλεσιν, ἂν μέν τις τῶν ἀρχομένων ἁμάρτῃ, οὐ τὸ κοινὸν τοσοῦτον, ὅσον ἑαυτὸν ἀδικεῖ. ἂν δὲ αὐτὸς ὁ ἄρχων, πάσης ἐργάζεται τῆς πολιτείας τὴν βλάβην. ὡς οὖν μεγάλας ὑφέξων εὐθύνας, εἴ τι παρίδοι τῶν δεόντων, μετὰ πολλῆς ἀκριβείας καὶ λεγέτω πάντα καὶ πραττέτω.

Κύκλος τις τῶν ἀνθρωπίνων περιτρέχει πραγμάτων, ἄλλοτε ἄλλως φέρων αὐτὰ, καὶ περιφέρων. καὶ τούτοις ἀνισότης ἐστὶ, τὸ μηδὲν τῶν παρόντων ἐν ταυτότητι μένειν. δεῖ οὖν σε κράτιστε βασιλεῦ, ἐν τῇ τούτων ἀγχιστρόφῳ μεταβολῇ, ἀμετάβλητον ἔχειν τὸν εὐσεβῆ λογισμόν.

Ἀποστρέφου τῶν κολάκων τοὺς ἀπατηλοὺς λόγους, ὥσπερ τῶν κοράκων τοὺς

Solicitam Imperatoris animã ſpeculi in modum abſtergi oportet, ut divinis ſplendoribus ſemper coruſcet, rerumque diſtincta judicia inde condiſcat: Nihil enim adeo facit, quę peragenda ſunt, conſpicere, atque cuſtodire eam perpetuò ſinceram.

Sicuti fit apud navigantes, quum nauta errat, modicum adfert navigantibus nocumentũ. Quum verò ipſe gubernator, totius efficit navigii perniciem. Sic & in civitatibus, ſi quis ex ſubditis peccet, non tam Rempub. quàm ſeipſum lædit. Sin verò ipſe princeps, univerſæ infert Reipub. detrimentũ. Is igitur ut non exiguam redditurus rationem ſi quid neglexerit corũ quæ facto opus ſunt cum exquiſita diligentia & dictitet cuncta & factitet.

Circulus quidam humanarũ revolvitur rerum, qui modò ſic, modò aliter agitatus ipſas circumfert. Atque in his inæqualitas eſt, eo quòd nihil ex præſentibus in eodẽ ſtatu maneat. Oportet igitur te, potentiſsime Imp. in hac rerum verſatili mutatione, immutabilem retinere pietatis congnitionem.

Averſare adulatorum fallaces ſermones, ut corvorum

ὥσπερ τοὺς κόρακας γαμψώνυχας ἐξαλέασθαι.
οἱ μέν τοι κόρακες μελανόπτεροι ὄμματα μοῦνον
τῶν νεκύων ἀνορύσσουσίν ποτε δ᾽ οὐδενὸς ὥρᾳ.
ἀλλὰ δὲ κλεψίνοοι κόλακες φαῦλοί τε βροτοί τε
ἤπερ τῶν ζώντων καὶ φάεα ἐξαλαοῦσιν,
εἶτα ἐπαινοῦσιν σφαλερὰς τὰς πολλάκι πρήξεις,
καὶ καταμέμφονται αὖθις μάλα ἄξιον αἶνον.
οὕτω βλάπτουσιν ῥέζοντες ἀτάσθαλα θνητούς.

XIII.

Χρὴ νόον εὔπηκτον βασιλῆα σφόδρα φυλάσσειν.
ἄστατος ἀξιώετόν τε καὶ ἠλεὸν ἦτορ ἐλέγχει.
χρὴ καὶ τῶν ἀγαθῶν σπουδῇ μεμελημένον αὐτὸν,
τοῖς κράτος ὑμείων στερεὸν καὶ ἄρρηκτον ἔσσεται.
οὐ χρὴ ἐνὶ μεγάλοις ἐχέμεν πεποτημένον ἦτορ,
πήμασιν οὔτε λυγροῖς παμπόλλοις θυμὸν ὀλέσσαι.
τοῦτο γὰρ ἀνθρώπων μερόπων σοφὸν ἦτορ ἐλέγχει.

XIIII.

Εἴ τις τὴν κακίην πλέσσαι ἀεσίφρονι θυμῷ
οὐκ ἐθέλει λεύσσων φύσεως βαρυπήμονα πολλὰ,
ἢ βιοτῆς ταύτης βραχύτητα καὶ ἄχθε᾽ ἀνίης,
οὐ διαπειράζει ὑπὲρ ὀφρύος ὕψος ἀείρειν,
κἂν ἐνὶ πλούτοισιν καὶ ἰφθίμοισιν ἀνάσσῃ
ἀνδράσιν σεμνὸν καὶ ἀριδείκετον αἷμα κομίζων.

Early European Books, Copyright © 2009 ProQuest LLC.
Images reproduced by courtesy of the Royal Library, Copenhagen.
LN 308 4° copy 2

τοὺς ἀρπακτικοὺς τρόπους. οἱ μὲν γὰρ τοὺς τοῦ σώματος ἐξορύττουσιν ὀφθαλμούς, οἱ δὲ τοὺς τῆς ψυχῆς ἐξαμβλύνουσι λογισμούς, μὴ συγχωροῦντες ὁρᾶν τὴν τῶν πραγμάτων ἀλήθειαν. ἢ γὰρ ἐπαινοῦσιν ἔσθ' ὅτε τὰ ψόγου ἄξια, ἢ ψέγουσι πολλάκις τὰ ἐπαίνων κρείττονα, ἵνα δυοῖν θάτερον αὐτοῖς ἁμαρτάνηται, ἢ τὸ κακὸν ἐπαινούμενον, ἢ τὸ καλὸν ὑβριζόμενον.

Ἴσον εἶναι χρὴ πάντοτε τοῦ βασιλέως τὸ φρόνημα· τὸ γὰρ συμμεταβάλλεσθαι ταῖς τῶν πραγμάτων μεταβολαῖς, διανοίας ἀβεβαίου τεκμήριον γίνεται. τὸ δὲ παγίως ἐν τοῖς καλοῖς ἐρηρεῖσθαι, ὡς τὸ εὐσεβὲς ὑμῶν ἐστήρικται κράτος, καὶ μήτε πρὸς ἀλαζονείαν ὑπεραίρεσθαι, μήτε πρὸς ἀθυμίαν καταφέρεσθαι, βεβηκότων ἐστὶν ἀσφαλῶς, καὶ ἀκράδαντον ἐχόντων τὴν ψυχήν.

Εἴ τις κεκαθαρισμένον ἔχει τὸν λογισμὸν ἐκ τῆς ἀνθρωπίνης ἀπάτης, καὶ βλέπει τὸ οὐτιδανὸν τῆς ἑαυτοῦ φύσεως, τό τε βραχὺ καὶ ὠκύμορον τῆς ἐνταῦθα ζωῆς καὶ τὸν συνεζευγμένον τῇ σαρκὶ ῥίπον, εἰς τὸν τῆς ὑπερηφανίας οὐκ ἐμπεσεῖται κρημνόν, κἂν ἐν ἀξιώματι ὑπάρχῃ ὑψηλῷ.

Ὑπὲρ

rapaces mores: Illi namque corporis effodiunt oculos: Iſti autem animæ hebetant & obtundunt cogitatus, quum non permittant perſpicere rerum veritatem. Vel enim commendant nonnunquam, quæ reprehenſione digna ſunt, vel reprehendunt plerunq; quæ omni laude ſunt maiora, vt de duob. alterum ab ipſis committatur, vel pravorum laus, vel contumelioſus bonorũ contemptus.

Æqualẽ oportet ſemper eſſe Imperatoris animũ: mutari .n. pro verum varietatibus, mentis inſtabilis argumentum efficitur. Firmiter autem bonis inhærere, qua firmitate pium veſtrum corroboratum & fixum eſt imperium; & neque uſq; ad inſolentiam extolli, neq; uſq; ad animi conſternationem deijci, in tuta veluti baſi ſtabilitorũ eſt hominum, inconcuſſamque habentium animam.

Si quis purum habet cogitatum ab humana deceptione, perſpicitq; ſuæ naturæ vilitatẽ, brevitatemq; veloci fato obnoxiæ præſentis vitæ, juxtà etiã carni conjunctas inſitasq; ſordes, ad ſuperbiæ nunquam illabetur pręcipitiũ, quãvis in excelſo dignitatis faſtigio conſtitutus.

 Super

XV.

Η δὲ θευδέιη ὁσίη μάλα κοσμεῖ ἄνακτα·
ἔστι γὰρ ἀνθρώπῳ μοῦνον τ' ἀναφαίρετον ἔπλεν,
„θνητῶν δ' εὐτάκτων βιοτῇ θεοὶ ἵλαοί εἰσιν,
„εὐσεβέων θ' ἁγίας θυσίας τιμάς τε δέχονται.
δόξα δὲ καὶ ὄλβος παῦρον πρὸς καιρὸν ὀπηδεῖ:
ἀπλόμενον περάτων κλέος οὐρανίων Αρετή, 'στι.

XVI.

Δύσοπόν ἐστιν ἐμοὶ ὅτ' ἂν πάσχουσιν ὁμοῖα
πήματα ζάπλουτοι καὶ ἀχρήμονες ἐξ ἀνομοίων.
οἱ μὲν ἀπειρεσίοις κτέατεσσιν ἑὸν φίλον ἦτορ
τέρπουσιν, δ' ἄλλοι φθινύθουσιν νηλέι λιμῷ,
καὶ δίψις κέλεται αὐτοὺς τὸν πότμον ἐπισπεῖν.
οἱ δὲ καὶ ἴσχουσιν βαθυλήϊα πείρατα γαίης,
ἄλλοι ποῦ στῆσαι ταρσὸν ποδὸς οὐχὶ ἔχουσιν.
Οφρα γὰρ ἀρτεμίη τε καὶ ἀγλαόδωρος ὑγείη
ἄμφοιν ἔοσηται, τὸ ἀνώμαλον εἰς ἰσότητα
ἀλλάξεις ὁμαλήν· ἰσότης ὁμαλὴ παναρίστη.

XVII.

Εν πολέεσσιν ἔφυ καλὰ πάνθ' ὅτε κοιρανέεσσι
θνητοῖς μουσάων πινυτῶν πινυτοὶ θεράποντες,
ἢ ὅταν οἱ βασιλεῖς διδαχὴν πολύϊδριν ἔχουσιν.
ἐκ γὰρ τῆς διδαχῆς ὑμῶν κράτος ἐστὶ βέβαιον,
πρήγματα κ' ὑμείων πάντεσσιν χρήσιμα πάντα,
εἰ γὰρ τῆς σοφίης φιλότης ἀντάξιον ἄλλων
πολλῶν ποιῆσαι ἐπάγουσ' εἰς ἴχνεα τιμῆς,
ἀρχὴ καὶ σοφίης ὁ φόβος θεοῦ αὐτοφύτοιο,

Ὑπὲρ πάντα τῆς βασιλείας τὰ ἔνδοξα, τῆς εὐσεβείας τὸ στέμμα τὸν βασιλέα κοσμεῖ· ὁ γὰρ πλοῦτος ἀπέρχεται, καὶ ἡ δόξα μετέρχεται. τὸ δὲ κλέος τῆς ἐνθέου πολιτείας ἀθανάτοις αἰῶσι συμπαρεκτείνεται. καὶ λήθης ἐπέκεινα τοὺς ἔχοντας ἵστησι.

Σφόδρα μοι δοκεῖ ἀτοπώτατον εἶναι, ὅτι πλούσιοι καὶ πένητες ἄνθρωποι, ἐξ ἀνομοίων πραγμάτων βλάβην πάσχουσιν ὁμοίαν· οἱ μὲν γὰρ ὑπὸ τοῦ κόρου διαῤῥήγνυνται, οἱ δὲ ὑπὸ τοῦ λιμοῦ διαφθείρονται· καὶ οἱ μὲν κατέχουσι τοῦ κόσμου τὰ πέρατα, οἱ δὲ οὐκ ἔχουσι ποῦ στῆσαι τὰ πέλματα. ἵνα τοίνυν ἄμφω τῆς ὑγείας τύχωσιν, ἀφαιρέσει καὶ προσθέσει τούτους θεραπευτέον, καὶ πρὸς ἰσότητα τὴν ἀνισότητα μετενεκτέον.

Ἐφ᾽ ἡμῖν ἀνεδείχθη τῆς εὐζωΐας ὁ χρόνος, ὃν προεῖπέ τις τῶν παλαιῶν ἔσεσθαι, ὅταν ἢ φιλόσοφοι βασιλεύσωσιν, ἢ βασιλεῖς φιλοσοφήσωσι. καὶ γὰρ φιλοσοφοῦντες ἠξιώθητε τῆς βασιλείας, καὶ βασιλεύσαντες οὐκ ἀπέστητε φιλοσοφίας. εἰ γὰρ τὸ φιλεῖν σοφίαν, ποιεῖ φιλοσοφίαν ἀρχὴ δὲ σοφίας, ὁ τοῦ θεοῦ φόβος, ὃν ἐν τοῖς στέρνοις ὑμῶν διαπαντὸς ἔχετε,

Super omnia præclara, quæ regnũ habet, pietatis cultusq; divini corona regem exornat: Divitiæ namq; evaneſcunt, & vulgi favor tranſit: Sola vitæ Deo placentis gloria immortalibus ſeculis coextenditur, & trans oblivionis tenebras collocat poſsidentes.

Vehementer mihi videtur abſurdum eſſe, quòd divites & pauperes homines ex diſsimilibus rebus detrimentum ſimile patiuntur. Illi namq; à copia rerum perrumpuntur: hi verò famè pereunt. Item illi occupant ultimos mundi terminos, hi non habent ubi plantas pedum ſiſtant. Ut igitur utraque pars ſanitatis fiat compos, auferendo & diminuendo eos regere oportet, atque ad æqualitatẽ inæqualitas tranſferenda eſt.

Noſtris temporib. oſtenſum eſt proſperæ vitę tempus quod prædixit quidam ex veteribus futurũ, cùm vel Philoſophi regnarent, vel Reges Philoſopharentur. Nam & philoſophando digni habiti regno eſtis, & regnando à philoſophia non deſciviſtis. Si n. amare ſapientiã, efficit philoſophiam, principiũ autem ſapientiæ Dei eſt timor, quẽ in pectorib. noſtris jugiter habe-

ἣν σὺ ἀπηλεγέως ἐρόεντ' ἐνικάτθεο θυμῷ,
γνήσιον, εὔδηλον, καὶ ἐτήτυμον ὅ,τι ἀγορεύω.

XVIII.

Πρῶκά σε, ὦ βασιλεῦ, βασιλῆα ὀρίζομαι, ἠδὲ
ὄρχαμον ἀνθρώπων πάντες περὶ κῆρι φιλοῦμεν,
ὃς πασῶν κρατέεις ἀπαλῶν, πάντεσσι τ' ἀνάσσεις
ἤδεσι, σωφροσύνης κ' ἐστεμμένος ἀκρεμόνεσσιν
εὐφύλλοις κορυφὴν στάχεις τε λυτῶν πολυόλβων.
ἄλλη σοὶ δύναμις δύναται ὑπὸ κῆρας ἀλύξαι,
τοῦτο διηνεκέως κάρτος δ' ἄφθαρτον ἔσεται.
ἄλλη ἐνὶ τούτῳ λύεται αἰῶνι ὀπίσω,
τοῦτο δ' ἀτλήτων βασάνων ῥύεται παναληθῶς.

XIX.

Εἰ δ' ὑπὸ πασέων πλέον ἐθέλεις ἀγαπᾶσθαι,
αὐτοὺς ὠφελήσεις τούτων τὴν πρῆξιν ὀφέλλων·
οὐδὲν γὰρ χάριτος γλυκερώτερον ἐν μερόπεσσι
τῆς χάριτος χάριτες μετόπισθέν τ' εἰσὶν ἀληθῶς.
ἡ δ' ὑπηρεσίη διὰ δειμὸν χλωρὸν, ἀτηρὸν
καὶ δολερόν πολλοῖς πέλεται θώπευμα βροτοῖσι
αἱμυλίοισι λόγοις καὶ τῆς τέχνης ἀπατῆσαι.

XX.

Τὸ κράτος ἄρ σέθεν θεόσεπτον καί τι σεβαστὸν,
ὅτι κεν ἐθελοδοτῆς δύναμιν δηλώσεται αὐτήν.
κ' αὐτοὺς δηλήσῃ ὧν δεχομένοις ἐπιεικής.
τοῦ μὲν νικαίεις τε βίῃ καὶ κάρτεϊ χερῶν,
ἔντινες ἀλλ' ὑμεῖς ἀποκαίνυνται τῇ ἀάπλῳ
καὶ γλυκόεντ' ἀγάπῃ· ἀγάπης τί δὲ λώϊόν ἐστι;

ὅσσιν

ἔχετε, εὔδηλον ὡς ἀληθὲς τὸ παρ' ἐμοῦ λεγόμενον.

Βασιλέα κατ' ἀλήθειαν ὁρίζομαι, ὡς βασιλεύειν καὶ κρατεῖν τῶν ἡδονῶν δυνάμενον, καὶ τὸν στέφανον τῆς σωφροσύνης ἀναδησάμενον, καὶ τὴν πορφύραν τῆς δικαιοσύνης ἀμφιασάμενον. ἡ μὲν γὰρ ἄλλη ἐξουσία τὸν θάνατον ἔχει διάδοχον. ἡ δὲ τοιαύτη βασιλεία, τὴν ἀθάνατον σώζει διαμονήν. καὶ ἡ μὲν ἐν τῷ αἰῶνι τούτῳ λύεται, ἡ δὲ τῆς αἰωνίου κολάσεως ῥύεται.

Εἰ τὴν ἐκ πάντων βούλει καρποῦσθαι τιμήν, γίνου τοῖς ἅπασιν εὐεργέτης κοινός. οὐδὲν γὰρ οὕτω πρὸς εὔνοιαν ἐφέλκεται, ὡς εὐποιΐας χάρις διδομένη τοῖς χρήζουσιν. ἡ γὰρ διὰ φόβον γινομένη θεραπεία, κατεσχηματισμένη ἐστὶ θωπεία, πεπλασμένης τιμῆς ὀνόματι φενακίζουσα τοὺς αὐτῇ προσανέχοντας.

Σεπτὴ δικαίως ἐστὶν ἡ ὑμῶν βασιλεία, ὅτι τοῖς πολεμίοις μὲν δεικνύει τὴν ἐξουσίαν, τοῖς ὑπηκόοις δὲ νέμει φιλανθρωπίαν. καὶ νικῶσα ἐκείνους τῇ δυνάμει τῶν ὅπλων, τῇ ἀόπλῳ ἀγάπῃ τῶν οἰκείων ἡττᾶται.

ὅσον

habebitis, clarum quàm verum ſit, quod à me dicitur.

Te revera Imperatorem aſſerimus, quippe qui & imperrare ac dominari voluptatibus vales, & tum corona caſtitatis revinctus, tum purpuram juſtitiæ indutus incedis. Aliis namque poteſtatibus mors ipſa ſuccedit. Hujuſcemodi verò regnum immortalem ſervat perpetuitatem. Item aliæ hoc in ſeculo ſolvuntur, hæc autem à perpetuo ſupplicio liberatur.

Si honore qui ab omnibus proficiſcitur perfrui vis, præſta te communem omnium benefactorem. Nihil .n. adeo attrahit ad benevolentiam, ut beneficii gratia quæ datur indigentibus. Quod .n. ob metũ præſtatur obſequium, fucata figurataq; eſt adulatio, ficti honoris titulo fallens eos, qui ipſi animum advertunt.

Venerandum jure eſt veſtrũ imperium, quia hoſtibus quidem ſuæ demonſtrat poteſtatis aculeos, ſubditis verò exhibet humanitatem. Et quum illos vincat armorum vi, inermi charitate vincitur à ſuis.

ὅσον γὰρ προβάτων διαλείπει θηρία πρᾴων,
ὅσον δ' οἰκείων ἀγαπητῶν ἐχθροὶ ἄχριστοι.

XXI.

Σώματι μὲν πᾶσιν χαμαὶ ἐρχομένοις πανόμοιος
εἶς, ἀτὰρ ἤνεσιν πανυπερτάτῳ αἰὲν ἐόντι,
σὺ γὰρ ἐπ' εὐρυχόρῳ πέλεται χθονὶ ζαυτῷ ὅμοιος.
τοὔνεκα τρηχεῖαν μὴ χρὴ τὴν μῆνιν ἀέξειν.
ὥστε θεὸν πρηῢν, κ' ἄνθρωπον μὴ μέγα πνεῖν.
εἰ γὰρ καὶ τιμὴν μέγα θείην ἔλλαχες αὐτὴν,
ἀλλὰ μινυνθάδιος χοϊκῆς χθονὸς αἷμα κομίζεις·
ἄρα γε πάντεσσιν γλυκερὴν ἰσότητα ὀπάσσεις.

XXII.

Τοὺς δὲ φράζοντας πυκινὴν καὶ μῆτιν ἀρίστην
στέρξον, τοὺς κόλακας μισῶν τῷ μίσε' ἀπαύστῳ.
οἱ μὲν ὀρίζονται πολυφέρτατα τῇ βασιλείῃ,
οἱ δὲ ἑαυτοῖσιν τὰ χρήσιμα πάντ' ἀγορῶνται,
ζώματος ἠδὲ σκιῇ μάλα εἴκελοι, αὖ βασιλήων
πάντα κλείουσι σωμάτεσσιν πρήγματα θείοις.

XXIII.

Τοιοῦτος γίγνου σέοθεν δμώεσσιν ὀτρηροῖς
οἷόν σοι γλίχεαι θεὸν ὑψιθόωκον ἔσεσθαι.
αἰὲν γὰρ πρόφρων θεός ἐστιν ἴσην ἀποτῖσαι
τὴν χάριν, ἢ μᾶλλον τὴν μείζονα τόφρα ἀμοιβήν.
χρηστὸς γοῦν πᾶσιν κ' ἀγανώτατος ἔσσεαι αἰὲν,
ἀμφί τε τοῖς αὐτοῖς οἰκτιρμὸν δαίσεαι ἦτορ.

XXIIII.

Ὥσπερ τὰς ἐνοπὰς ἀναφαίνει ἀληθέσ' ἔσοπτρα

Φαιδρὰς

ὅσον γὰρ θηρίου καὶ προβάτου τὸ μέσον, τοσοῦτον ἀμφοτέρων ἡγεῖται τὸ διάφορον.

Τῇ μὲν οὐσίᾳ τοῦ σώματος ἴσος παντὶ ἀνθρώπῳ ὁ βασιλεύς, τῇ δ' ἐξουσίᾳ τοῦ ἀξιώματος ὅμοιός ἐστι τῷ ἐπὶ πάντων θεῷ. οὐκ ἔχει γὰρ ἐπὶ γῆς ὑψηλότερον. χρὴ τοίνυν αὐτὸν καὶ ὡς θεὸν μὴ ὀργίζεσθαι, καὶ ὡς θνητὸν μὴ ἐπαίρεσθαι. εἰ γὰρ εἰκόνι θεϊκῇ τετίμηται, ἀλλὰ καὶ εἰκόνι χοϊκῇ συμπέπλεκται, δι' ἧς ἐκδιδάσκεται τὴν πρὸς πάντας ἰσότητα.

Ἀποδέχου τοὺς τὰ χρηστὰ συμβουλεύειν ἐθέλοντας, ἀλλὰ μὴ τοὺς κολακεύειν ἑκάστοτε σπεύδοντας. οἱ μὲν γὰρ τὸ συμφέρον συνορῶσιν ἐν ἀληθείᾳ, οἱ δὲ πρὸς τὰ δοκοῦντα τοῖς κρατοῦσιν ἀφορῶσι, καὶ τῶν σωμάτων τὰς σκιὰς μιμούμενοι, τοῖς παρ' αὐτῶν λεγομένοις συνᾴδουσι.

Τοιοῦτος γίνου περὶ τοὺς σοὺς οἰκέτας, οἷον εὔχῃ σοι τὸν δεσπότην γενέσθαι. ὡς γὰρ ἀκούομεν, ἀκουσθησόμεθα, καὶ ὡς ὁρῶμεν, ὁραθησόμεθα ὑπὸ τοῦ θείου καὶ παντοφόρου βλέμματος. προσενέγκωμεν οὖν τῷ ἐλεῷ τὸν ἔλεον, ἵνα τῷ ὁμοίῳ τὸ ὅμοιον ἀντιλάβωμεν.

Ὥσπερ τὰ ἀκριβῆ τῶν κατόπτρων τοι-

Quantum enim feræ & ovis interſtitium eſt, tantum eſſe inter eos diſcrimen arbitratur.

Eſſentia corporis æqualis eſt cuilibet homini Imperator, poteſtate autem dignitatis cunctorum præſidi Deo. Non enim habet in terris ſe quenquam altiorem. Oportet igitur ipſum ut Deum non iraſci, ut mortalē non efferri. Nam etſi effigie divina honoratus eſt, at pulvere tamen terreno connexus eſt; quo edocetur, ut erga omnes ſervet æqualitatem.

Accepta eos, qui bonorum te conſiliorum admonitū volunt, non eos qui adulari ſæpenumero ſtudent. Illi enim, quod revera expedit, perſpiciunt: hi verò ad ea, quæ placent potentibus, reſpiciunt, corporumq; umbras imitantes, ſingulis eorum dictis applaudunt.

Talem te præſta erga tuos famulos, qualem optas erga te dominum eſſe. Prout enim audimus, audiemur, & ut reſpicimus, reſpiciemur à divino cunctaq; obruente aſpectu. Priores igitur nos miſericordiæ miſericordiam conferamus, ut pari par recipiamus.

Sicut exquiſita ſpecula

 tales

Φαιδρὰς τῶν Φαιδρῶν δνοφοέσσας ἢ δνοφοέντων.
οὕτω ἄρ' ἡμετέροις ἰνδάλλεται ὑψιθρόνοιο
„ ἡ κρίσις εὐλόγιμος καὶ ἄμεμπτος πρήγμασι πᾶσιν.
οἷά τ' ἀνὴρ ῥέξῃ, τοῖον τέλος αὐτὸν ἱκάνει·
τοῦτο γὰρ ἰθύδικος θεὸς ἐν νεφέλῃσιν ἀνύττει.

Apud Ælian. lib. 3. var. Hiſt. Pauſan. in Meſſen. & Pind. Sch. hymno 4. Pythior.

XXV.

Δηρὸν βουλεύειν μὴ ὅπως μάλα μῶρα πέληται.
„ καὶ τάδε ἐκτελέειν, ἅ σε μὴ μετέπειτ' ἀνιήσῃ·
ἔστι δὲ τοῖς πολλοῖς θνητοῖς προπέτεια κάκιστον.
εἰ δέ τις ὁρμαίνει τὰ κατὰ φρένα καὶ κατὰ θυμὸν
πήματα παντοδαπὰ σφαλερῆς τῆς ἐκ προπετείας,
χρήσιμα τῆς βουλῆς τότε γνώσεται εὐφρονεούσης,
ὡς καὶ τῶν νούσων πολλῶν ἀφεθεὶς δολιθάων
σύμφορα ὑγιείης γνωρίζει ἱμεροέσσης.
Δεῖ τοίνυν, βασιλεῦ περιδέξιε δήνεσι καλοῖς
σ' εὐχῆς καὶ ὁσίης προφερέστατα κόσμῳ ἐρευνᾶν.

XXVI.

Καί τε διοικήσεις ἐπὸν βασιλήϊον ἀρχήν,
εἰ περιορᾶν ἐθέλεις, καὶ μὴ παρορᾶν τὰ ἀνάγκης.
ἐν σοὶ τὸ σμικρὸν μὴ σμικρὸν τῆς ἀγέλησι
τῶν ὑποχειρίων, ὅτι ῥήματα τοῦ βασιλῆος
τυτθὰ διηνεκέως παρὰ πολλοῖς κάρτος ἔχουσιν.

XXVII.

τοιαύτας δείκνυσι τὰς τῶν προσώπων ἐμφάσεις, οἷά περ ἐστὶ τὰ πρωτότυπα, φαιδρὰ μὲν τῶν φαιδρυνομένων, σκυθρωπὰ δὲ τῶν σκυθρωπαζόντων. οὕτω καὶ ἡ δικαία τοῦ Θεοῦ κρίσις, ταῖς ἡμετέραις πράξεσιν ἐξομοιοῦται. οἷα περ γὰρ ἂν ᾖ τὰ παρ' ἡμῶν εἰργασμένα, τοιαῦτα ἡμῖν ἐκ τῶν ὁμοίων παρέχει.

Βουλεύου μὲν τὰ πρακτέα βραδέως, ἐκτέλει δὲ τὰ κριθέντα σπουδαίως. ἐπεὶ λίαν ἐστὶ σφαλερὸν, τὸ ἐν τοῖς πράγμασιν ἀπερίσκεπτον. εἰ γὰρ τὰ ἐξ ἀβουλίας τις ἐννοήσει κακὰ, τότε γνώσεται καλῶς τῆς εὐβουλίας τὰ χρήσιμα, ὡς καὶ τὴν ὑγείας τὴν χάριν, μετὰ τὴν πεῖραν τῆς νόσου. δεῖ τοίνυν, εὐφρονέστατε βασιλεῦ, καὶ βουλῇ συνετωτέρᾳ, καὶ εὐχῇ συντονωτέρᾳ, ἐξερευνᾶν ἀκριβῶς τὰ συνοίσοντα τῷ κόσμῳ.

Ἄριστα διοικήσεις τὴν ἀγαθήν σου βασιλείαν, εἰ πάντα σπουδάζεις ἐφορᾶν, καὶ μηδὲν ἀνέχῃ παρορᾶν. οὐ γὰρ μικρὸν ἐπὶ σοί, ὅπερ μικρὸν εἶναι δοκεῖ ἐν συγκρίσει τῶν σῶν. ἐπειδὴ καὶ ῥῆμα βασιλέως ψιλὸν, μεγάλην ἔχει παρὰ πᾶσιν ἰσχύν.

Σαυτῷ

ales mõſtrant vultuũ apparentias, qualia ipſa ſunt archetypa, nitidas videlicet nitentium, triſtes autem triſtantium. Eodem pacto juſtum Dei judicium noſtris actionibus aſsimilatur. Qualia enim ſunt, quæ à nobis præſtantur, talia ipſe nobis par pari referens exhibet.

Conſulta quæ agenda ſunt cunctanter, exequere autē quæ decreveris, maturè. Quoniam periculoſum eſt admodum inconſiderata in rebus temeritas. Si quis .n., quæ ex inconſulta mente proveniunt, mala, concipiat animo, facilè cognoſcet boni conſilii commoda, non ſecus ac qui ſanitatis dotem poſt ægrotationis experimentum perſentiſcit. Debes igitur, Cordatiſsime Rex, tum conſilio prudentiore, tum precibus ad Deũ impenſiorib. exquirere diligenter, quæ mundo ſunt profutura.

Optimè reges egregium tuũ imperium, ſi omnia des operã perſpicere, nec negligere patiare quicquam. Non enim parvum eſt in te, quod parvum eſſe videtur comparatione tuorum. Quoniam vel exile Imperatoris verbum & minimum, ingentem obtinet apud omnes vim,

Τοῖς χερσὶν στιβαρῆς χρῆσθαι οἴηκα ἀνάγκης
ἔσσεαι ἐσσόμενος ἀνὰ τὴν τραφερήν τε καὶ ὑγρήν·
οὕτω πανσυδίῃ τὰ ἀμεμφέα θεσμὰ σεβάσθεις,
ἠδὲ σέβειν λαὸς θρησκήϊον ἔργον ὑφαίνειν
ἀσκήσει, κ' αὐτὸς μάλα δηρὸν ταῦτα φυλάξει.

XXVIII.

Ἴσον ἄρ, ἀμπλακίην τελέσαι ἀεσίφρονι θυμῷ.
μὴ καὶ ἀπειργάθειν ῥέζοντα ἀτάσθαλα ἔργα.
κἂν γάρ τις τέμνῃ ὁσίως βιότοιο κέλευθον
ἐν τινὶ εὐρυχόρῳ τῷ ἄστεϊ, καὶ ἀνέχηται
ἦμαρ ἐπ' ἦμαρ ἀλιτροπινῆς μεμελημένου ἀνδρός.
δούλου ἀμπλακίης σφαλερῆς ὁ συνεργὸς ἔσεται.
ἄνδιχα αἰνεῖσθαι εἰ βούλεαι ὄρχαμος ἀνδρῶν,
πάντα γέραιρε ὁμῶς καὶ ὃς αἴσιμα ἔργα ἀνύτει,
πάντα χ' ὁμῶς σύζευς ἔρδοντα ἀμείλιχα ἔργα.

XXIX.

Σύμφορόν ἐστιν ἄγαν φεύξαι ὀαριστὺν ἀτηρῶν,
κ' σὺ μετὰ τοῖς αὐτοῖς γλυκερὴν φιμότητα βαλέσθαι.
ὅστις ἀλιτρονόοις κομιδῇ ἄνδρεσσιν ὁμιλεῖ,
ἢ κακὰ καὶ πάσχει, ἢ βουσοδομεύμενος ἀσκεῖ.
ὅστις ἄρ ἂν θέλεσθαι ἐπὶ τοῖσ' ἀγαθοῖσι μενοινᾷ
ὀρθὴν τὴν πίστιν τε καὶ ὅρκια συντεπάων,
χρήσιμα τιθέμενος τὰ ἀτάσθαλα πάντα ἐάσει.

XXX.

Πρὸς δὲ τὰς πρήξεις σφαλερὰς, ἐγκόσμιον ἀρχὴν
ἴσχων, ὦ βασιλεῦ, μὴ χρῶ δολομήτιδος ἀνδρὸς,
τοῦ τῆς ἀμπλακίης βαρυπήμονος αὐτὸς ὑφέξεις
τὸν λόγον ἀενάου κόσμοιο θεῷ γενετῆρι.

ἀρχόν-

Σαυτῷ τὴν τοῦ φυλάττειν τοὺς νόμους ἐπίθες ἀνάγκην, ὡς μὴ ἔχων ἐπὶ γῆς τὸν δυνάμενον ἀναγκάζειν. οὕτω γὰρ καὶ τῶν νόμων ἐπιδείξεις τὸ σέβας, αὐτὸς πρὸ τῶν ἄλλων τούτους αἰδούμενος, καὶ τοῖς ὑπηκόοις φανήσεται τὸ παρανομεῖν οὐκ ἀκίνδυνον.

Ἴσον τὸ πλημμελεῖν τῷ μὴ κωλύειν τοὺς πλημμελοῦντας λογίζου. κἂν γάρ τις πολιτεύηται μὲν ἐνθέσμως, ἀνέχηται δὲ τῶν βιούντων ἀθέσμως, συνεργὸς τῶν κακῶν παρὰ θεῷ κρίνεται. εἰ δὲ βούλῃ διττῶς εὐδοκιμεῖν, καὶ τοὺς τὰ κάλλιστα ποιοῦντας προτίμα, καὶ τοῖς τὰ χείριστα δρῶσιν ἐπιτίμα.

Λίαν συμφέρειν ὑπολαμβάνω, τὸ φεύγειν τὰς τῶν κακῶν συνδιαιτήσεις. τὸν γὰρ συνόντα πάντοτε ἀνθρώποις πονηροῖς, ἢ παθεῖν ἢ μαθεῖν ἀνάγκη τι πονηρόν. ὁ δὲ τοῖς ἀγαθοῖς συνδιάγων, ἢ μίμησιν τῶν καλῶν ἐκδιδάσκεται, ἢ μείωσιν τῶν κακῶν ἐκπαιδεύεται.

Εγκότμιον ὑπὸ θεοῦ πιστευθεὶς βασιλείαν, μηδενὶ χρῶ τῶν πονηρῶν πρὸς τὰς τῶν πραγμάτων διοικήσεις. ὧν γὰρ ἂν ἐκεῖνοι κακῶς διαπράξωνται, λόγον ὑφέξει θεῷ ὁ τὴν ἰσχὺν αὐτοῖς δεδωκώς.

Tibi ipſe cuſtodiendi leges impone neceſsitatē, quum non habeas in terris, qui te poſsit cogere. Si .n. tum legum præ te feres cultum ipſe, ante alios eas reverendo, tum ſubditis conſtabit, legū prævaricationē periculi non eſſe immunem.

Peccare &non cohibere peccantes, idem eſſe exiſtima. Si quis .n. in civitate vitam quidem ipſe traducat ęquè, toleret autem iniquè viventes, ſocius malorū apud Deum judicatur. Quod ſi velis bifariam approbari, ut pulcherrima quæque gerentes honora, ita teterrima patrantibus ſuccenſe.

Expedire admodum arbitror, effugere pravorum contubernia. Qui enim cum hominibus improbis ſemper verſatur, eum vel pati vel diſcere malum aliquid neceſſe eſt. Qui verò unà cum bonis degit, vel imitationem honeſtorum edocetur, vel diminutionem vitiorum condiſcit.

Terrarum orbis à Deo quum concreditū tibi ſit regnum, cave ne aliquo utaris ex pravis ad rerum adminiſtrationes. Quæ enim pravi perperam fecerint, eorum rationē reddet Deo, qui peccandi facultatē ipſis indulſerit.

ἐρχόντων τοίνυν προβολὴ παρὰ σοῖο ἔσεται.

XXXI.

Τῶν καὶ τῶν ἐχθρῶν κεχολῶσθαι ἀμπλακιάων.
τῶν καὶ ἐτῶν σέοθεν περὶ κῆρι κόλασμα φιλῆσαι.
οἴομαι ἠνεκέως πάντεσσιν πῆμα ὅμοιον.
γυναίως δεῖ γὰρ τὸ πρέπον περικαλλὲς ἀμύνεις,
μήτε κακὰς πρήξεις τίσασθαι, μήτ' ἐπίπλαστον
τὴν χάριν ἢ πίστιν γῆς εὐλογίησιν ἀμείβειν.

XXXII.

Οὐ σὺ γυναίους καὶ ἀμύμονας ἡγοῦ ἑταίρους
ἔμμεν ἐπαινοῦντας παρὰ σοῦ λεχθέντα ἅπαντα,
ἀλλὰ δικάζοντας τῷ κρίματι πάντα ἀμέμπτως,
ἠδὲ συνηδομένους ἐπὶ ἔργμασιν εὐσεβέεσσιν,
καί τε ἀκηχεμένους ἐπὶ πρήγμασι τοῖσ' ἀδίκοισι·
οὗτοι γὰρ πιστοὶ καὶ ἀμύμονές εἰσιν ἑταῖροι.

XXXIII.

Ὄγκος μὴ σέοθεν μεγαλόφρονα θυμὸν ἀμείψει
τοῦ κράτεος λύτου, ἀλλ' ὡς ἐπίκηρον ἀμυμῶν,
τὸν νόον εἰς ἔργοις ἔχε τοῖς τρεπτοῖσιν ἄτρεπτον,
μήτε ἐνὶ μεγάλοις πεποτημένον ἦτορ ὀπάσσεις,
μήτ' ἐνὶ πλαγκτοσύνης κραδίην δάψουσιν ἀνίαι.

XXXIIII.

Χρυσὸς τιμήεις ὑπὸ τέχνης ἄλλοτι ἄλλα
εἵνεκα τῶν κόσμων καὶ ποικίλα σχήματα αἱρεῖ,
αὐτὸς χ' ὡς πρόσθεν, μιμνάζει τὴν φύσιν αὐτήν.

μετὰ πολλῆς οὖν ἐξετάσεως αἱ τῶν ἀρχόντων προβολαὶ γινέσθωσαν.

Ἴσον νομίζω κακὸν, καὶ τῶν ἐχθρῶν θυμοῦσθαι ταῖς κακουργίαις, καὶ τῶν φίλων θέλγεσθαι ταῖς κολακείαις. δεῖ γὰρ πρὸς ἑκατέρους γενναίως ἀνθίστασθαι, καὶ τοῦ πρέποντος μηδαμῶς ἀφίστασθαι, μήτε τὴν ἀλόγιστον ἐκείνων δυσμένειαν ἀμυνόμενον, μήτε τὴν ἐπίπλαστον τούτων εὐμένειαν ἀμειβόμενον.

Ἡγοῦ τούτους εἶναι φίλους ἀληθεστάτους, μὴ τοὺς ἐπαινοῦντας ἅπαντα τὰ παρὰ σοῦ λεγόμενα, ἀλλὰ τοὺς κρίσει δικαίᾳ πάντα πράττειν σπουδάζοντας, καὶ συνηδομένους μὲν ἐπὶ τοῖς χρηστοτέροις, ἐπιστυγνάζοντας δὲ ἐπὶ τοῖς ἐναντίοις. οὗτοι γὰρ ὄντως ἀψευδεστάτης φιλίας δεικνύουσι τεκμήριον.

Μὴ μεταβαλλέτω σοι τὴν μεγαλόφρονα γνώμην τῆς ἐπιγείου ταύτης δυναστείας ὁ ὄγκος, ἀλλ᾽ ὡς ἐπίκηρον διέπων ἀρχὴν, ἄτρεπτον ἔχε τὸν νοῦν ἐν πράγμασι τρεπτοῖς, μήτε ἐν ταῖς εὐθυμίαις ἐξυψούμενος, μήτε ἐν ταῖς ἀθυμίαις ταπεινούμενος.

Ὥσπερ χρυσὸς ἄλλοτε ἄλλοις ὑπὸ τῆς τέχνης μετατυπούμενος, καὶ πρὸς διάφορα κοσμίων εἴδη μεταποιούμενος, ὅπερ ἐστὶ διαμένει, καὶ τροπὴν οὐχ

ſerit. Multa igitur cum perſcrutatione magiſtratuum promotiones fiant oportet.

Æquale reor eſſe malum, & inimicorum excandeſcere flagitiis, & amicorum permulceri blanditiis. Oportet .n. vtriſq; fortiter reſiſtere, nec uſquam à decoro diſcedere, nec; irrationabilem eorũ malevolentiam ulciſcendo, neque fictitiam horum benevolentiam renumerando.

Exiſtima veriſsimos amicos, non qui laudent omnia, quæ dicantur abs te, ſed qui nihil nõ integro judicio facere contendunt, ſic ut gratulentur tibi, ſi benè, triſtentur contra ſi perperam dixeris feceriſvè. Hi enim revera ab omni fraude abhorrentis amicitię prę ſe ferunt indicium.

Ne mutet tibi magnanimam mentem, terrenæ hujus poteſtatis moles, ſed ut fragilem fatoq; obnoxium regens principatum, immutabilem habeto mentem in rebus mutabilibus, nimia neq; lætitia te ſurrigens, neq; mœſtitia vileſcens.

Sicut aurum quamvis modò ſic modò aliter ab arte transfiguretur, atq; ad varias ornamentorum ſpecies transformetur, permanet tamẽ id quod eſt, nec

οὕτως, ὦ βασιλεῦ πανυπέρτατε, ἄλλο ἀμείβεις
τὸ κράτος ἐξ ἄλλου, καππάσειν κ' αὐτὸς ἐν αὐτοῖς
πρήγμασιν ἐμμίμνεις, ἀμετάτροπον ἦτορ ἐλαύνων.

XXXV.

Τῆμος τῶν πάντων κρατέεις πάντεσσί τ' ἀνάσσεις
νόσφιν κινδύνου, ὅταν ἀνθρώποισιν ἑτοίμοις.
πολλάκι γὰρ πολύπημον πῆμ', ἀνέτοιμον ἔχεσκεν·
δεσμοῖς ἀλλὰ κράτος πεπεδημένον εὐλογιάων,
τὴν πειθὼ στερεὴν πρὸς κοίρανον ἶφι κομίζει.

XXXVI.

Ὄφρα σέθεν κάρτος πανάοιδιμον αἰὲν ἔσηται,
ὅσσον τοῖς λαοῖς τρηχεῖαν μῆνιν ἀέξεις
πλαζομένοις, τόσσον σοι ἀπαθάλλοντι ἐνωπῇ.
οὐδεὶς γὰρ δύναται τοσοῦτον κάρτος ἔχοντα
εὐθύνειν, εἰ μὴ αὐτοῖς τ' ἐν στήθεσιν ἦτορ,
ὃ τριμερῶς κομιδῇ τὸν ἀλιτραίνοντα ἐγείρει.

XXXVII.

Ἴσχυε τὴν πολλήν τε βίην καρτερῆφι κομίσσας.
καδδυνάμιν κράτος τούτοιο ὅπερ μιμέεσθω.
εἰ γὰρ ἔχῃ καλῇ θεόπλαστον ἐν εἰκόνι μορφήν,
καὶ διὰ ἀθανάτου θνητοῖς πάντεσσιν ἀνάσσῃ,
ἐν τούτῳ αὐτὸν μάλα δεῖ τε μάλιστα μιμεῖσθαι.
ὄφρα ἕλῃ λαὸν στερξίμβροτος οἶκος ἅπαντα.

XXXVIII.

Τῆς εὐεργεσίης τὰ χρήματα πολλὰ ἀγεῖραι
μᾶλλον τοῦ πλούτου, μάλα δηρὸν τερπέτω ἡμᾶς.

αὐτὰ

οὐχ ὑπομένει· οὕτω καὶ αὐτὸς εὐκλεέστατε βασιλεῦ, ἄλλην ἐξ ἄλλης ἀμείβων ἀρχὴν, φθάσας δὲ καὶ αὐτὴν τὴν ἀνωτάτω τιμὴν, ὁ αὐτὸς διαμένεις ὢν ἐν τοῖς αὐτοῖς πράγμασιν, ἀναλλοίωτον ἔχων ἐν τῷ καλῷ τὸ φρόνημα.

Νόμιζε τότε βασιλεύειν ἀσφαλῶς ὅταν ἑκόντων ἀνάσσῃς τῶν ἀνθρώπων. τὸ γὰρ ἀκουσίως ὑποταττόμενον, στασιάζει καιροῦ λαβόμενον. τὸ δὲ τοῖς θεσμοῖς τῆς εὐνοίας κρατούμενον, βεβαίαν ἔχει πρὸς τὸ κρατοῦν τὴν εὐπείθειαν.

Ινα τὸ κράτος τῆς βασιλείας ποιήσῃς ἀοίδιμον, ὅσην ἔχεις κατὰ τῶν ὑπηκόων ἁμαρτανόντων ὀργὴν, τοσαύτην ἔχειν καὶ κατὰ σαυτοῦ πλημμελοῦντος ἄξιον. οὐδεὶς γὰρ ἰσχύει τὸν ἐν ἐξουσίᾳ τηλικαύτῃ παιδεύειν, εἰ μὴ λογισμὸς οἰκεῖος, ἐξ αὐτοῦ τοῦ πλημμελοῦντος κινούμενος.

Ο μεγάλης ἐξουσίας ἐπιλαβόμενος, τὸν δοτῆρα τῆς ἐξουσίας μιμείσθω κατὰ δύναμιν. εἰ γὰρ πως τὴν εἰκόνα φέρῃ τοῦ ἐπὶ πάντων θεοῦ, καὶ δι' αὐτοῦ κατέχει τὴν ἐπὶ πάντων ἀρχὴν, ἐν τούτῳ δὴ μάλιστα τὸν θεὸν μιμήσεται, ἐν μηδὲν ἡγεῖσθαι τοῦ ἐλεεῖν προτιμώτερον.

Υπὲρ χρυσίον καὶ λίθον τίμιον τῆς εὐποιΐας τὸν πλοῦτον ἑαυτοῖς θησαυ-

nec mutationem patitur: Sic ipſe quoq; inclytiſsime Imperator, licet aliud ex alio per gradus obtinueris regimé, perveneriſq; ad ipſum ſupremum honoré, idem tamen permanes non in eiſdem rebus immutabilem continens in officio animũ.

Exiſtima tunc demum te tutò regnare, quum volentibus imperas hominibus. Quod .n. invito animo ſubijcitur, ſeditionibus fluctuat arrepta occaſione. Quod verò legib. benevolentiæ regitur, ſtabilem ſervat erga rectorem obedientiam.

Ut dominium imperii tui facias decantabile, quantam habes adverſus ſubditos peccantes iram, tantam habendam eſſe tibi adverſus teipſum peccanté cenſeto. Nemo .n. valet tantâ pollentem poteſtate corrigere, niſi ratio propria, quæ ex ipſo peccante moveatur.

Magnam qui poteſtatem adeptus eſt, largitorem poteſtatis imitetur pro viribus. Si enim imaginem geſtat rerũ præſidis Dei, atq; per ipſum continet rerũ principatum, in eo maximè imitabitur Deum, ut non exiſtimet quicquam miſericordia pretioſius.

Super aurũ & lapidem pretioſũ, beneficétiæ divitias nobis

veluti

αὐτὰ γὰρ ἐν ταύτῃ βιότῃ ἰαίνει ἀληθῶς
ἐλπίδι ἐσσομένης γλυκύτητος, ἀπείρμονι αὐτὰρ
τὴν γλυκύτητα φέρει πεῖρα μακαρισμοῦ ἀγαυοῦ.
νῦν περὶ σοῦ ἡμᾶς παρεόντ' ὡς μήτι πρὸς ἡμᾶς.
σύγχουν κηληθμῷ θνητοὺς ἐπιπρεπέτω ἡμᾶς.

XXXIX.

Τοῖς ἐπὸν θάνεσιν καλοῖς σπούδαζε ἀμείβειν
σοῦ μετ' εὐνοίας σέθεν τὸ κέλευσμα κ' ἐφετμὴν
πειθομένους. οὕτως ἡδυμεῖς κραντῆρας ἄφνω.
καὶ κακομηχανίης φαύλους αἶψ' ἀποτρέψεις.
πάντων τῶν ἔργων ἡ ἰσόρροπος ἔσται ἀμοιβή.

XL.

Πάντων κεδνότατον καὶ ὑπείροχον ἡ βασιλεία,
καὶ τότε τοιοῦτον πέλεται μάλα, ὅτε τὸ κάρτος
ἴσχων οὐδὲ ἔρδει βριαρ' ἔργα κακορραφίῃσι
τοῦ νόου, ἠδὲ ὁμῶς μὴ ἀπάθαλα βυσσοδομεύει
ἀλλὰ ἀεὶ λαοὺς τοῖς ἰθυτέροισι δικάζει
θεσμοῖς, εὐγνώμων καὶ ἤπιος ὡς θεὸς αὐτός.

XLI.

Πᾶσι δίκαια νέμειν, μηδὲ κρίσιν ἐς χάριν ἕλκειν.
μήτε χαριζόμενος διὰ μείλια φαιδρὰ φίλοισι,
μήτε ἀπεχθόμενος διὰ ἔχθεα λυγρὰ ὑβριστῆς.
ἔστι γὰρ ἀμφότερον καὶ ἀπάθαλον ἠδὲ ἀλιτρόν,

θησαυρίζωμεν· τὸν καὶ ὧδε κατευφραίνοντα τῇ ἐλπίδι τῆς μελλούσης ἀπολαύσεως κἀκεῖ καταγλυκαίνοντα τῇ πείρᾳ τῆς ἐλπισθείσης μακαριότητος. τὰ δὲ νῦν περὶ ἡμᾶς, ὡς οὐδὲν πρὸς ἡμᾶς, μὴ τερπέτω ἡμᾶς.

Σπούδαζε λαμπροτέραις ἀμείβεσθαι δωρεαῖς τοὺς μετ' εὐνοίας ποιοῦντας τὰ παρά σου προσταττόμενα. τούτῳ γὰρ τῷ τρόπῳ, καὶ τῶν ἀγαθῶν ἐπαυξήσεις τὴν προθυμίαν, καὶ τοὺς πονηροὺς διδάξεις μεταμαθεῖν τὴν κακίαν. τὸ γὰρ τῶν αὐτῶν ἀξιοῦσθαι τοὺς μὴ τὰ αὐτὰ ποιοῦντας, ἄγαν ἐστὶν ἀθέμιστον.

Τιμιώτατον πάντων ἐστὶν ἡ βασιλεία· τότε δὲ μάλιστα τοιοῦτόν ἐστιν, ὅταν ὁ τοῦτο περικείμενος τὸ κράτος, μὴ πρὸς αὐθάδειαν ῥέπῃ, ἀλλὰ πρὸς ἐπιείκειαν βλέπῃ, τὸ μὲν ἀπάνθρωπον ὡς θηριῶδες ἀποστρεφόμενος, τὸ δὲ φιλάνθρωπον, ὡς θεοείκελον ἐνδεικνύμενος.

Ἴσως πρός τε φίλους καὶ ἐχθροὺς ποιοῦ τὰς κρίσεις, μήτε τοῖς εὐνοοῦσι χαριζόμενος διὰ τὴν εὔνοιαν, μήτε τοῖς δυσμενέσιν ἀνθιστάμενος δι' ἀπέχθειαν. ἐπειδὴ τῆς αὐτῆς ἐστιν ἀτο-

veluti theſaurum recondamus. Illæ namq; hic in præſenti vita obiectant ſpe futuræ fruitionis, & ibi in futura dulcedinem adferunt, experimento guſtuq; ſperatæ beatitudinis. Quæ verò nunc circa nos apparent, tanquam nihil ad nos pertinentia, ne nos nimium oblectent.

Da operam ut eos ſplendidioribus demerearis remunerationibus, qui cum benevolentia capeſſunt, quæ mandantur abs te. Hoc .n. pacto & bonorum augebis alacritatẽ, & malos docebis ut dediſcant malitiam. Eiſdem enim cenſeri dignos, qui non eadem faciunt, nimis nefariam eſt.

Pretioſiſsimum omnium eſt, imperium: tunc verò vel maximè hujuſcemodi eſt, quum hac qui circumdatus eſt poteſtate, non ad pertinacem & temerariam ſævitiam propenſus ſit, ſed ad æquitatem reſpiciat, inclementiam ut ferinam averſando, humanitatem ut Deo ſimilem præ ſe ferendo.

Æqua lance tam ad amicos quam inimicos vergeus judicandi munus obito, neq; benè ſentientibus de te gratificans ob benevolentiam, neq; malevolis reſiſtens propter inimicitias: quoniam ejuſdem abſurditatis

καὶ ἄδικον φαῦλον σκολιῇσι δίκῃσι δικαιοῦν,
καί τ᾽ ἀδικεῖν ἀγαθόν τε καὶ εὔλογον ἠδὲ δίκαιον,
αὐτὸς κἂν πλέθει σέοθεν φίλος, οὗτος ἀπεχθής.
ἔστι γὰρ ἀμπλακίη βαρυπήμων ἀμφοτέρωθεν.

XLII.

Δεῖ μάλ᾽ ἀκουέμεναι κρίνοντας ἀληθέϊ μύθῳ.
ἔστι γὰρ ἀργαλέον χαλεπόν θ᾽ εὕρημα δικαίου,
ῥηϊδίως φεύγει ἀνοήμονας ἠδὲ ἀφράστους.
αὖ δὲ καθ᾽ ὑπερφιάλων σκολιῶν τε ἀφέντες ἐρίμνων
μύθων τῶν μερόπων, ἐς τὴν βαθύτητα ἀτρέπτων
καί τε δριστάων πραπίδων βάλλωσιν ἑαυτούς,
οὕτω συνεχέως καὶ ἀντλήσουσιν ἅπαντα.
ἠδὲ ἀταρθαλίην δισσὴν φεύξονται ἀληθῶς,
μήτε καλὸν σεμνὸν λείποντες, μήτε τὸ αὐτὸ
τοῦτ᾽ ἄλλους ῥέζειν παρέντες ἄρ εἵνεκα κέρδους.]

XLIII.

Τείρεσι κἂν πολιοῖς καλὰ πρήγματα ἶσα ἀνύτῃς,
οὔποτε νικήσεις τὸ φιλανθρώπευμα θεοῖο.
ὅσσα γὰρ τῷ αὐτῷ τις ὀπάζει τῶν πάρα αὐτοῦ.
τοῦ αὐτοῦ ἀπηλεγέως δόσκει δωτῆρι τῷ αὐτῷ.
ὥσπερ ἀνένδεκτον παρελθέμεναι σκιαδίσκην
τὴν ἰδίην. οὕτω μέροπες τοῖς πρήγμασι καλοῖς
πλῆθος τῶν θείων μὴ ὑπερβήσονται ἐάων.

XLIIII.

Τῆς γὰρ φιλοφροσύνης τὰ χρήματά ἐστ᾽ ὑπέραντλα.
ἐν γὰρ τῷ δόμεναι κτεατίζεται, ἐν γὰρ κεδάζειν.

συλλέ-

ἀτοπίας, καὶ δικαιοῦν τὸν ἄδικον, εἰ καὶ φίλος ὑπάρχει. ἢ ἀδικεῖν τὸν δίκαιον, εἰ καὶ ἐχθρὸς τυγχάνει. τὸ γὰρ κακὸν ἐν ἀμφοτέροις ὅμοιον, κἂν ἐν τοῖς ἐναντίοις εὑρίσκηται.

Νουνεχῶς ἀκροᾶσθαι δεῖ τοὺς τῶν πραγμάτων κριτάς. δυσθήρατος γάρ ἐστιν ἡ τοῦ δικαίου εὕρεσις, ῥᾳδίως ἐκφεύγουσα τοὺς μὴ λίαν προσέχοντας. ἂν δὲ καὶ τὴν τῶν λεγόντων ἀφέντες δεινότητα, καὶ τὴν τῶν λεγομένων παρέντες πιθανότητα, εἰς τὸ βάθος τῶν νοημάτων ἑαυτοὺς ἐμβάλλωσιν, οὕτως ἀνιμήσονται τὸ παρ' αὐτῶν ζητούμενον, καὶ διπλῆν ἁμαρτίαν ἐκφεύξονται, μήτε αὐτοὶ τὸ καλὸν προδιδόντες, μήτε ἄλλοις τοῦτο δρᾷν συγχωροῦντες.

Ἰσάριθμα τοῖς ἄστροις ἂν κτήσῃ τὰ κατορθώματα, οὐδέποτε νικήσεις τὴν τοῦ θεοῦ ἀγαθότητα. ὅσα γὰρ ἄν τις προσενέγκῃ θεῷ ἐκ τῶν αὐτοῦ, τὰ αὐτοῦ προσφέρει αὐτῷ. καὶ ὡς οὐκ ἔστιν ὑπερβῆναι τὴν ἰδίαν ἐν τῷ ἡλίῳ σκιὰν προλαμβάνουσαν ἀεὶ καὶ τὸν λίαν ἐπειγόμενον· οὕτως οὐδὲ τὴν ἀνυπέρβλητον τοῦ θεοῦ χρηστότητα ταῖς εὐποιΐαις ὑπερβήσονται ἄνθρωποι.

Ἀδαπάνητός ἐστι τῆς εὐποιΐας ὁ πλοῦτος. ἐν τῷ διδόναι γὰρ λαμβάνεται, καὶ

eſt, & ſecundum inique petentem dare litem, etſi ſit amicus, & injuriam juſto inferre, etſi ſit inimicus: Malum enim utrobique ſimile eſt, tametſi in contrariis inveniatur.

Intenta mente auſcultare debent rerum judices. Difficilis namq; captu eſt juſti inventio, facileq; effugere ſolet non admodum attendentes. Quod ſi prætermiſſa dicentium loquentia, dictorumq; neglecta veriſimilitudine, ad penitiſsimam intentionum profunditatem penetrauerint, ſic demum haurient, quod ab ipſis quæritur, geminiq; inſontes erunt delicti, neq; ipſi honeſtum prodendo, neque aliis ut id committant concedendo.

Æqualia numero ſideribus etſi edideris bona opera, non tamen ob id ſuperabis Dei bonitatem. Quæcunq; n. quiſpiam obtulerit Deo, ſua ipſi offeret ex ſuis. Et ſicuti tranſilire vel anteire nulli datur ſuam in Sole umbrá prævenientem ſemper, vel nimis properantem: Ita inſuperabilem Dei bonitatem nulli bonis operibus homines excedent.

Inexhauſtæ ſunt beneficétiæ opes: Ná largiédo acquirũtur,

&c.

Συλλέγεται· βασιλεῦ σὺ δὲ ταῦτ' ἐνικάτθεο θυμῷ
πλουτοπόδωρε φέρων λαοῖς αἰτοῦσιν ἀρωγήν.
παμβασιλεῦς τριπλῆ τετραπλῆτε, καὶ εἰσόκ' ἰανθῇ
σὸν κῆρ, καὶ δώσῃ, καὶ ἔσεται ὡς ἀγορεύω.

XLV.

Αὐτὸν ζηλώσῃς βασιλεύτατε πρήγμασι καλοῖς
τὸν θεὸν ὑψίθρονον ἀφνέος δωτῆρα τεοῖο.
σὺ γὰρ πλουτέμεναι βασιλήϊον, ἀλλὰ δὲ μᾶλλον
Cel. Rh. lib. 11. c. 24. πλουτίζειν, ὥσπερ Πτολεμῆϊος εἶπεν ἀληθῶς.
ἄλκαρ γοῦν δόμεναι πτωχοῖς, πλῆσαί τε ἅπαντας
ἱλλομένους πενίῃ γλυκερῶν εὐεργεσιάων.

XLVI.

Ὥσπερ ἐν ἀνθρώπου τῷ σώματι βλέμμα πέφυκεν·
οὕτω ἐν ἀενάῳ τῷ κόσμῳ ἀοίδιμος ἐστήν·
ἔστι τῷ εὔχρηστος πρὸς ὄνειαρ ὀφέλσιμον αὐτός.
χρὴ οὖν πάντεσσιν φράζεσθαι μῆτιν ἀρίστην,
ὄφρα ἐνὶ καλοῖς αὔξωνται ἔργμασι καλῶς.

XLVII.

Τιμὴν ἄκουε δίκης μὴ ἀτάσθαλον ὕβριν ὀφέλλων,
ὄφρα παρ' ἀνθρώποις πολύολβα τὰ ἤματα λάσῃς·
μηδένα γὰρ βλάψας τὸν μηδένα δείδιε θνητῶν.
εἰ δὲ ἀκίνδυνον μὴ ὑπέρβιον ὕβριν ὀφέλλειν,
μᾶλλον ἀκίνδυνον τὸ φέρειν ὑπερείσι' ἄποινα.
τοῦτο γὰρ εὐνοίην καὶ τὴν φιλότητα ἀέξει.

Early European Books, Copyright © 2009 ProQuest LLC.
Images reproduced by courtesy of the Royal Library, Copenhagen.
LN 308 4° copy 2

καὶ ἐν τῷ σκορπίζειν συνάγεται. τοῦτον ἔχων ἐν τῇ ψυχῇ σου, πλουσιόδωρε βασιλεῦ, δίδου πᾶσι δαψιλῶς τοῖς αἰτοῦσι παρὰ σοῦ. ἀπειροπλασίας γὰρ ἕξεις ὑπὲρ τούτων ἀμοιβὰς, ὅταν ἔλθῃ ὁ καιρὸς τῆς τῶν ἔργων ἀντιδόσεως.

Νεύματι θεοῦ τὴν βασιλείαν λαβὼν, μίμησαι αὐτὸν δι' ἔργων ἀγαθῶν, ὅτι τῶν εὖ ποιεῖν δυναμένων ἐγένου, ἀλλ' οὐ τῶν εὖ παθεῖν δεομένων. τὸ γὰρ ἕτοιμον τῆς τῶν χρημάτων δαψιλείας, ἀνεμπόδιστόν ἐστι πρὸς τὰς τῶν πενήτων εὐποιΐας.

Ὥσπερ ὀφθαλμὸς ἐμπέφυκε σώματι, οὕτω βασιλεὺς τῷ κόσμῳ ἐνήρμοσται, ὑπὸ τοῦ θεοῦ δεδομένος εἰς συνεργίαν τῶν συμφερόντων. χρὴ οὖν αὐτὸν, ὡς οἰκείων μελῶν, οὕτω πάντων ἀνθρώπων προνοεῖν, ἵνα προκόπτωσιν ἐν καλοῖς, καὶ μὴ προσκόπτωσιν ἐν κακοῖς.

Ἀσφαλεστάτην ἡγοῦ τῆς σωτηρίας σου φυλακὴν, τὸ μηδέ ποτέ τινα τῶν ὑπηκόων ἀδικεῖν. ὁ γὰρ τινὰ μὴ ἀδικῶν, οὐχ ἀφορᾶται τινά. εἰ δὲ τὸ μὴ ἀδικεῖν ἀσφάλειαν προξενεῖ, τὸ εὐεργετεῖν πολλῷ πλέον. τὸ ἀσφαλὲς γὰρ δίδωσι, καὶ τὸ προσφιλὲς οὐ προδίδωσι.

Γίνου

& diſsipando colliguntur. Has tuo inſitas animo habens, munificentiſs. Imperator, largire omnib. affatim petentib. abs te: Infiniticuplas .n. pro his habebis remunerationes, quum tempus reddendi vicem venerit.

Nutu Dei regnum adeptus, imitare eum bonis operibus, quia in eorũ numero natus es, qui beneficio afficere poſſunt, non qui affici poſtulant. Paratæ enim rerum copiæ nullum impedimentum eſſe poteſt, quo minus conferantur in pauperes beneficia.

Sicut oculus innatus eſt corpori, ita Imperator mundo adaptatus eſt, atq; à Deo datus pro adminiſtratione eorũ, quæ uſui ſunt. Oportet igitur eum omnibus hominib. quaſi propriis membris proſpicere, ut proficiant in honeſtis, & non illidantur malorum offenſaculo.

Tutiſsimam arbitrare ſalutis tuæ cuſtodiam, nulla quenquã ex ſubditis afficere injuria. Qui enim offendit neminem, ſuſpicioni habet neminem. Quod ſi nulla quenquam afficere injuria, tutelam conciliat, longè beneficiis collatis magis id præſtabit. Nam ut tutelam exhibet, ita charitatẽ non prodit.

Early European Books, Copyright © 2009 ProQuest LLC.
Images reproduced by courtesy of the Royal Library, Copenhagen.
LN 308 4° copy 2

XLVIII.

Ἴσθι ἀτυζηλὸς βασιλεῦ προφερέστατε πάντων
ἐρχομένοις πᾶσιν πανυπειρόχου εἵνεκα κάρτους,
καὶ εὐεργεσίης ἀγαπητὸς καὶ ἐξίερας.
μήτε περιφρονέων, διὰ τὴν φιλότητα, φόβοιο,
μήτε διὰ κρυερὸν θέμβος γλυκερὴν ἀπείζων
τὴν φιλότητα, ἀτὰρ καὶ ἀγανόφρων καί τε ἀπηνής.
ὥσπερ ἀπηλεγέως κρατερή σε ἐπείγει ἀνάγκη.

XLIX.

Ὅσσα σέθεν λαοὺς ῥέζειν θεσμοῖσιν ἀνώγεις,
ταῦτα ἀριφραδέως τοῖς ἔργμασι πρόσθεν ἄνυσσε.
ὄφρα τεὸς βίοτος μυθοῖσιν τοῖς πιθανοῖσιν
πρήγμασιν ἐν καλοῖς πάντη ἀτάλαντος ἔσηται.
οὕτω ἄρ εὐδόκιμον τελέθει κράτος ἠδὲ ἀγαυόν,
ὁππότε συλλέγεαι πράττων, καὶ πράττεαι αὖθις
πάνθ᾽ ἃ ἀμωμήτοις φρεσὶν ἐν στήθεσσιν ἀνώγει.

L.

Πλεῖον τοὺς σοῦ ἱκέτας βασιλεύτατε κοίρανε πάντων,
γούνατα κάμπτοντάς τε ποδῶν προσάρροιθεν ἑλικτοὺς
ἀμφαγαπαζέμεναι, ἤπερ τὰ ἄποινα διδόντας.
τοῦτο γὰρ ἀτρεκέως ἀλεγεινὸν χρεῖος ὀφέλλει,
αὐτὸ δὲ ποιήσει θεὸν ὑψιμέδοντα ἕτοιμον
τὰς εὐεργεσίας γλυκερῇς χαρίτεσσιν ἀμείβειν.

LI.

Ἔστι διαυγάζειν φαεσιμβρότου ἠελίοιο
ἔργον ἀριζήλοις σελάδεσσιν κόσμον ἀφαυρόν.
τῶν δὲ φαεινάων τοῦ ἄνακτος ἠνορεάων
τηρομένους πενίῃ τε καὶ ἀκτεάνους ἐλεαίρειν.

Γίνου τοῖς ὑπηκόοις, εὐσεβέστατε βασιλεῦ, καὶ φοβερὸς διὰ τὴν ὑπεροχὴν τῆς ἐξουσίας, καὶ ποθεινὸς διὰ τὴν παροχὴν τῆς εὐποιΐας. μήτε τοῦ φόβου καταφρονῶν διὰ τὸν πόθον, μήτε τοῦ πόθου παραμελῶν διὰ τὸν φόβον· ἀλλὰ τὸ ἥμερον ἔχων ἀκαταφρόνητον, καὶ τὸ εὐκαταφρόνητον ἔχων ἀνήμερον.

Ἃ τοῖς ὑπηκόοις νομοθετεῖς διὰ τῶν λόγων, ταῦτα προλαβὼν ὑπέδειξας διὰ τῶν ἔργων, ἵνα τοῖς λόγοις οἷς πείθεις, καὶ χρηστὸς συναγωνίζηται βίος· οὕτω γὰρ εὐδόκιμον ἀποφανῇ σου τὸ κράτος, καὶ λέγων πρακτικῶς, καὶ πράττων λογικῶς.

Πλέον ἀγάπα, βασιλεῦ γαληνότατε, τοὺς λαμβάνειν παρὰ σοῦ χάριτας ἱκετεύοντας, ἤπερ τοὺς σπουδάζοντας δωρεὰς σοὶ προσφέρειν. τοῖς μὲν γὰρ ὀφειλέτης ἀμοιβῆς καθίστασαι· οἱ δέ σοι τὸν θεὸν ὀφειλέτην ποιοῦσι τὸν οἰκειούμενον τὰ εἰς αὐτοὺς γινόμενα, καὶ ἀμειβόμενον ἀγαθαῖς ἀντιδόσεσι τὸν φιλόθεον, καὶ φιλάνθρωπόν σου σκοπόν.

Ἡλίου μὲν ἔργον ἐστὶ τὸ καταλάμπειν ταῖς ἀκτῖσι τὴν κτίσιν· ἄνακτος δὲ ἀρετὴ τὸ ἐλεεῖν τοῖς δεομένοις. κἀκεί-

Eſto ſubditis, pientiſsime Imperator, & formidabilis ob excellentiam poteſtatis, & amabilis ob largitionē beneficentiæ. Neq; formidinem contemnens propter amorē, nec item amorem negligens ob formidinem: Sed tam manſuetudinem præ ſe ferens haud aſpernabilem, quàm nimiam & aſpernabilem familiaritatem immiti ſeveritate caſtigans.

Quæ ſubditis verbo quaſi lege præſcribis, hæc tu præveniens reipſa præſtitiſti, ut verbis, quibus perſuades, integra quoque vita aſtipuletur: Sic enim commendabile tuum aſſeverabis imperium, ſi & ratiocineris non ſine opere, & opereris non ſine ratione.

Eos plus ama, Sereniſsime Imperator, accipere abs te beneficia qui ſupplicant, quā tibi qui contendūt offerre munera. His enim debitor referendi gratiam efficeris: Illi verò Deum dant tibi vadem vendicantem ſibi pertinereq; ad ſe putantem, quæcunq; erga ſupplices contuleris, & remunerantem bonis retributionib. tuam tam piam, quàm perhumanā intentionē.

Solis profectò partes ſunt, illuſtrare radiis orbem. Principis verò virt⁹ eſt egenorū misereri.

Early European Books, Copyright © 2009 ProQuest LLC.
Images reproduced by courtesy of the Royal Library, Copenhagen.
LN 308 4° copy 2

λαμπρότερος βασιλεὺς θεοειδὴς δ' ἠελίοιο.
νυκτὸς μὲν δνοφερῆς οὗτος νικᾶται, ἀτὰρ δὲ
αὐτὸς μὴ δύναται τοῦ φαυλεπιφαυλοτάτοιο,
ἀτρεκίης φανεροῖς σελάδεσσι κρυπτὰ ἐλέγχων.

LII.

Τοὺς μὲν σου προτέρους βασιλεῖς κόσμησε ἡ ἀρχή.
ἀλλὰ σὺ λαμπροτέρως ταύτην τοῦ ἠελίοιο,
καὶ ῥώμης ὄγκον μάλα κιρνῶν ἡμερότητι,
καί τε φιλοφροσύνῃ νικῶν φόβον ὀκρυόεντα,
τοὔνεκα νηνεμίης εὐκταῖον ἐσέρχεται ὅρμον
σῆς, ἐλέους γλυκεροῦ τε καὶ ἱκεσίοιο χατίζων,
ἠδὲ ἀσχημοσύνης τοῦ κύματος ἐξολομένοιο
ἁρπαμένος, κελάδοις ὕμνον χορδῇσιν ὑφαίνει.

LIII.

Ὅσσον ὑπερβάλλεις πάντας κρατερόφρονι ῥώμῃ.
ἔργμασι τοσοῦτον πρὸ ἁπάντων σφόδρ' ἀμαρύζεις.
τοῦτο δὲ ῥεζέμεναι τὸ καλὸν σὺ γνώσεαι ἔργον,
ὄφρα σέθεν κράτεος μεγέθει ἀτάλαντον ἐσεῖται.
ὄφρα παρ' ἀενάου ἀνακηρυχθῆσθαι θεοῖο
τοῦ μετ', ἀνικήτου βασιλείας στέμματος ἄκρου,
κρατὶ σέθεν πλέξαι στέφανον εὐεργεσιάων.

LIIII.

Φράζεο πανσυδίῃ, μάλα δηρὸν φράζεό φημι.
πρὶν ἐπιτελλέμεναι σέοθεν σημάντορι φωνῇ.
οὕτω ὑποσχεσίῃ ἀπλανὴς ἔσσεται ἀληθῶς.
ἔστι δ' ὀλισθηρὸν τῆς γλώσσης ὄργανον αὐτό.

ὄρρα

κἀκείνου δὲ φανώτερος, ὁ εὐσεβὴς βασιλεύς. ὁ μὲν γὰρ ὑποχωρεῖ τῇ διαδοχῇ τῆς νυκτός. ὁ δὲ οὐ παραχωρεῖ τῇ συναρπαγῇ τῶν κακῶν, ἀλλὰ τῷ φωτὶ τῆς ἀληθείας ἐξελέγχει τὰ κρυπτὰ τῆς ἀδικίας.

Τοὺς μὲν πρὸ σοῦ βασιλεῖς ἡ ἀρχὴ κατεκόσμησε, σὺ δὲ ταύτην κράτιστε φαιδροτέραν ἐποίησας, ἡμερότητι κιρνῶν τῆς ἐξουσίας τὸν ὄγκον, καὶ χρηστότητι νικῶν τῶν προσιόντων σοι τὸν φόβον. ὅθεν τῷ λιμένι τῆς σῆς γαληνότητος πάντες προσορμῶσιν οἱ ἐλέους δεόμενοι, καὶ τῶν κυμάτων τῆς πενίας ἀπαλλαττόμενοι, εὐχαριστηρίους ὕμνους σοι ἀναπέμπουσιν.

Ὅσον τῇ δυναστείᾳ πάντων ὑπερανέχεις, τοσοῦτον καὶ τοῖς ἔργοις ὑπερλάμπειν ἀγωνίζου. ἀναλογοῦσαν γὰρ τῷ μεγέθει τῆς δυνάμεως τὴν ἐργασίαν τῶν καλῶν ἀπαιτεῖσθαι προσδόκησον. ἵνα τοίνυν παρὰ θεοῦ ἀνακηρυχθῇς, μετὰ τοῦ στεφάνου τῆς ἀηττήτου βασιλείας, κτῆσαι καὶ τὸ στέμμα τῆς τῶν πενήτων εὐποιΐας.

Σκέπτου πρὶν ἐπιτάττειν ἃ θέλεις, ἵνα προστάττῃς ἐμφρόνως ἃ θέμις. εὐόλισθον γὰρ τὸ τῆς γλώττης ὄργανον, καὶ μέγιστον παρέχει τοῖς ἀμε-

Porrò ille clarior eſt Imperator, qui piuseſt. Ille namque cedit ſuccedenti nocti. Hic autem rapacitati pravorum non concedit indulgetvé quicquã, ſed lumine veritatis, iniquitatis occulta coarguit.

Ante quidem te Imperatores principatus adornavit, tu verò eum, Præſtantiſsime, illuſtriorẽ reddidiſti, manſuetudine temperans diluensq́; auſteram poteſtatis molẽ, bonitateq́; vincẽs adeuntium te formidinem. Quapropter tuæ ſerenitatis portũ ſubeunt omnes, qui miſericordia indigent, fluctibuſq́; paupertatis liberati, gratiarum actores hymnos ad te miſsitant.

Quantum poteſtate cæteris antecellis, tantum factis etiam emicare ante alios cuitere. Perſuaſiſsimum .n. habe, eam abs te poſtulari honeſtorum operationem, quæ magnitudini virium proportionẽ reſpondeat. Ut igitur à Deo quaſi per præconem victor declareris, coronâ invicti imperii tuo capiti impoſita, coronam etiam ex promerendis pauperib. acquirito.

Contemplator benè priusquã mandes quæ fieri velis, ut ſemper prudenter jubeas quæ fas eſt. Lubricũ .n. eſt inſtrumentũ linguæ, maximumq́; adfert ne-

ὄφρα ἀεὶ θνητοῖς ἐπὶ ἄλγεσιν ἄλγος ἀέξει.
εἰ δὲ ἐπιστήσεις αὐτῷ νόον ἰθυκέλευθον,
ὀρφείῃ φόρμιγγι συνοίμιον ὕμνον ἀείσει.

LV.

Ἔστω δ' ἡγεμονεὺς πεπνυμένα μήδεα εἰδώς,
ὁππότε ἐν χαλεποῖς τοῖς πρήγμασι καλὰ ὀρέξει
κρίματα δεχομένοις τῷ μὴ κακοτηόπι θυμῷ.
καί τε ἐπεὶ πάντῃ βαρυτήμων, ὀργῇ ἄνοργος.
ἄλλοτε τρηχεῖαν κ' οὐκ ἄλλοτε μῆνιν ἀέξει,
ὄφρα ἀναστέλλῃ φαύλων μανιάδας ὁρμάς,
καί τε ἀνιχνεύῃ σπουδαίων ὦκα ἐρωάς.

LVI.

Ἐν μάλα τῆς πινυτῆς κραδίης πραπίδεσσιν ἁπάντων
σοὶ συνομιλούντων φράζεσθαι ἤθεα καλῶς,
ὄφρα σὺ γιγνώσκῃς ὧν τὴν φιλότητα φιλήσεις,
ἠδὲ ἀθεσμοβίους κ' ἀπατήνορας ὑπεροπτῆας,
οἳ τέχνῃσιν ἑῆς μέγ' ἀτάσθαλα μηχανόωνται.

LVII.

Τὸν δὲ λόγον πυκινὸν καὶ ἐπίφρονα μῆτιν ἀκούσας,
οὔχ ὅτι μὴ μοῦνον στήθεσι προμεροῖσιν, ἀτὰρ δὲ
πρήγμασι τῷ αὐτῷ αὐτὴν λαμπρὰ δέχεσθαι.
οὕτω κοιρανίης βασιλῆος ἔσσεται ἰσχὺς
ὀλβοδότειρα, ὅταν καθ' ἑαυτὸν τὰ δίωξα, ἢ καὶ
ἄλλων, τῶν σκοπέει μάλα ὄρρα ἀνώγει ἀνάγκη
καὶ τό γε ἀσκήσει αἰδῶς ἔκτοσθεν ἁπάσης
ἠδὲ ἀμελλητὶ προπολοῦν τε ἔργον αὐτῆς.

Τείχεσιν

ἀμελοῦσι κίνδυνον. εἰ δὲ τὸν εὐσεβῆ λογισμὸν ὡς μουσικὴν ἐπιστήσεις αὐτῷ, τὸ παναρμόνιον τῆς ἀρετῆς ἀνακρούσεται μέλος.

Ὀξὺν μὲν εἶναι χρὴ περὶ πάντα τὸν ἄνακτα, καὶ μάλιστα περὶ τὰς κρίσεις τῶν δυσχερῶν πραγμάτων, βραδὺν δὲ λίαν εἰς ὀργὴν ἐπιδείκνυσθαι. ἐπειδὴ γὰρ τὸ πάντη ἀόργητον εὐκαταφρόνητον, καὶ θυμούσθω μετρίως, καὶ μὴ θυμούσθω. τὸ μὲν, ἵνα τῶν φαύλων τὰς ὁρμὰς ἀναστέλλῃ, τὸ δὲ, ἵνα τὰς ἀφορμὰς τῶν χρηστῶν ἀνιχνεύῃ.

Εν τῷ ἀκριβεῖ τῆς καρδίας σου βουλευτηρίῳ, ἐπιμελῶς κατανόει τῶν συνόντων σοι τοὺς τρόπους, ἵνα γινώσκῃς ἀκριβῶς καὶ τοὺς ἐν ἀγάπῃ θεραπεύοντας, καὶ τοὺς ἐν ἀπάτῃ κολακεύοντας· πολλοὶ γὰρ εὔνοιαν ὑποκρινόμενοι, μεγάλα τοὺς πιστεύοντας καταβλάπτουσι.

Λόγον ἀκούσας ὠφελῆσαι δυνάμενον, μὴ μόνον ἀκοῇ τοῦτον, ἀλλὰ καὶ πράξει διαδέχου. οὕτω γὰρ τὸ τοῦ βασιλέως ἀγλαΐζεται κράτος, ὅταν ἢ παρ' ἑαυτοῦ τὰ δέοντα συνορᾷ, ἢ παρ' ἄλλου εὑρεθέντα, μηδαμῶς παρορᾷ, ἀλλὰ μανθάνει μὲν ἀνεπαισχύντως, ἐπιτελεῖ δὲ ἀνυπερθέτως.

Ακρό

negligentib. periculum. Quod ſi pium intellectum veluti muſicam illi præfeceris, omnibus harmoniæ numeris concinnatum modulabitur melos.

Acutum quidem eſſe oportet principem, quum in aliis, tum vel maximè in adferendo de rebus difficillimis judicio, lentū autem ad iraſcendum. Et quoniam omnimoda iræ abſentia aſpernabilis eſt, & iraſcatur mediocriter, & non iraſcatur oportet. Illud, ut pravorum impetum comprimat, hoc, ut propenſiones bonorum pervestiget.

In exquiſita tui corporis cura diligenter perſpicito converſantium tecum mores, ut pernoſcas examuſsim, & quos charitas te colere compellit, & qui tibi per fraudē adulantur: Pleriq; enim benevolentiam ſimulantes, magno credentibus detrimento ſunt.

Sermonem quum audis juvare valentem, non auribus modò, verùm opere etiam excipito. Sic .n. Imperatoris exornatur decoraturq; dominium, quum vel ex ſe conſiderat, quorum indiget uſus, vel ab alio reperta non deſpicit, ſed tum diſcit ſine verecundia, tum exequitur ſine cunctatione.

Arx:

Early European Books, Copyright © 2009 ProQuest LLC.
Images reproduced by courtesy of the Royal Library, Copenhagen.
LN 308 4° copy 2

LVIII.

Τείχεσιν ἀκρόπολις μακροῖς κ' ἱεροῖσιν ἐρυμνή,
πάντας ῥηϊδίως ἀθερίζει ἀγηνόρας ἐχθρούς.
οὕτω ἀνακτορίη γλυκερῆς ἐλεημοσύνῃσι
καί τι ὀφειλομένης εὐχωλῆς ὅτε βρυάζει,
ἐστιν ἀνίκητος τείχεσιν νηλεοθύμων,
νίκεος εὐδυνάτου στήσασα μέγιστα τρόπαια.

LIX.

Τῇ γὰρ καταχθονίῳ βασιλείῃ, ὡς θέμις ἐστί,
χρῶ, ἵνα ἀστερόεν μέλαθρον Διὸς αὐτὸς ἱκάνῃς.
οἱ δὲ διοικοῦντες ταύτην πολλῆς μετὰ σπουδῆς,
τῆς μετὰ μὲν ταύτης καὶ ἐκείνης κληρονομοῦσι.
Σφόδρα διοικοῦσιν ταύτην, ὅταν ἐρχομένοισι
θεσμὸν ἀέξουσιν πατρώϊον ἐν φιλότητι.
καὶ τότε τίουσιν, θεὸν ὡς μάλα εἰσορόωντες
τὸν αὐτὸν βασιλεῖς, γενετῆρας κ' ὥστε ἑαυτῶν.
πταίσματα γοῦν αὐτῶν τῆς συστέλλοντες ἀπειλῆς,
αὐτὸν λήξουσιν τῷ ἐκτάμεν ὀξέϊ χαλκῷ.

LX.

Τῆς εὐεργεσίης καλὸν ἀμφίβλημα κ' ἀγήρων,
ἐστί τε στέρνηθρον πρὸς δέκτας τὸν ἀνιηροὺς
εἷμά τε πορφύρεον, πρειώσιον ἠδὲ φαεινόν.
τοὔνεκα βουλόμενον καλῶς βασιλήϊον ἀρχὴν
ἀμφιέπειν, χρὴ σὴν ψυχὴν τούτοισι πυκάζειν.
ἑσσάμενος γλυκερὴν δ' εὐνοίην τὸν πρὸς ἀκλήρους,
βήσεαι εὔκληρος πρὸς ὄλυμπον ἀγάννιφον εὐθύς.

Τοῦ

Ἀκρόπολις μὲν ἀπορθήτοις τείχεσιν ἠσφαλισμένη καταφρονεῖ τῶν πολιορκούντων αὐτὴν πολεμίων, ἡ εὐσεβὴς δὲ βασιλεία ὑμῶν ἐλεημοσύναις τετειχισμένη, καὶ προσευχαῖς περιπυργουμένη, ἀήττητος γίνεται τοῖς τῶν ἐχθρῶν βέλεσιν, ἀοίδιμα κατ' αὐτῶν ἐγείρουσα τρόπαια.

Χρῆσαι δεόντως τῇ κάτω βασιλείᾳ, ἵνα κλίμαξ σοι γένηται τῆς ἄνω εὐδοξίας. οἱ γὰρ ταύτην καλῶς διοικοῦντες, μετὰ ταύτης κἀκείνης ἀξιοῦνται. ταύτην δὲ διοικοῦσι καλῶς, οἱ πατρικὸν τοῖς ἀρχομένοις ἐπιδεικνύοντες πόθον, καὶ ἀρχικὸν παρ' αὐτῶν ἀντιλαμβάνοντες φόβον. ἀπειλαῖς μὲν τὰ πταίσματα προανατέλλοντες, τιμωρίαις δὲ πεῖραν αὐτοῖς οὐ προσάγοντες.

Ἱμάτιον ἀπαμαίωτόν ἐστι τὸ τῆς εὐποιΐας περιβόλαιον, καὶ ἀδιάφθορος στολὴ, ἡ πρὸς τοὺς πένητας στοργή. δεῖ οὖν τὸν βουλόμενον εὐσεβῶς βασιλεύειν, τοιούτοις ἐνδύμασι τὴν ψυχὴν καλλωπίζειν. φιλοπτωχίας γὰρ ἠμφιεσμένος πορφύραν, καὶ οὐρανίου βασιλείας καταξιοῦται.

Σοκῆ-

Arx quidem indepopulabilibus muris munita contemnit obſidentes ſe hoſtes. Pium autem veſtrum imperium, quum & liberalitate erga miſeros veluti muro cinctum, & precum turribus corroboratum ſit, invictum nulliſque hoſtium telis pervium fit, præclara & celebria contra eos erigens trophæa.

Utere oportet regno hoc inferiore, ut ſcala tibi fiat ſuperioris claritatis. Qui enim hoc rectè gubernant, illa quoque poſtmodum digni cenſentur. Hoc autem rectè gubernant, qui paternam ſubditis oſtendunt charitatem, & principi debitum ab ipſis recipiunt timorem. Itaque minis quidem vitia compeſcent, ſupplicii autem ſenſum neutiquam ipſis infligent.

Veſtimentum invetuſtabile eſt beneficentiæ amictus, & incorrupta ſtola eſt charitas erga pauperes. Eum igitur oportet, qui piè regnare vult, talium indumentorum pulchritudine animam exornare. Amoris enim in egenos qui indutus eſt purpura, cœleſtis quoque regni compos efficitur.

LXI.

Τοῦ κράτεος σκῆπτρον χρυσοῦν παρὰ αἰεὶ ἐόντος
δεξάμενος, τιμῆς αὐτὴν δωτῆρα γέραιρε
εὐαγέστιν πλείω, ἢ ἄλλοι θνητοὶ ἅπαντες,
οἷς πολὺ ἔστησέν σε τιμιμένον ἠδὲ θεοῖσι.
τοῦτο δὲ παμπήδην γέρας αὐτῷ ἐστιν ἀγαυὸν,
σωζέμεναι μορφὴν θεόπλαστον ἐν εἰκόν' ἔχοντας
αὐτοὺς καὶ εὖ ῥέζειν μέγα τὸ χρέος ὡς ἀποδοῦναι.

LXII.

Ὡς δὲ βοήθειαν χρεχέμεν πᾶς θνητὸς ὀφείλει
θεῖον ἐελδόμενος καλῆς γλυκερῆς τε ἀρωγῆς·
ἀλλὰ μάλιστα ἄναξ ὑπὲρ ἄλλων μέρμερα πίσσων
ἧς φρεσὶν, ἠδὲ ἔχων πυκινῶ μελεδήματα θυμῷ.
ὁππότε γὰρ καὶ αὐτοῦ ἀλέγει θεὸς ὑψικέραυνος,
πολεμίους νικᾷ ἐχθροὺς καὶ νηλεοθύμους,
ἀρχομένους πάντας καὶ σφόδρα ἐρύεται αὐτούς.

LXIII.

Παμμεδέων γενετὴρ θεὸς οὐδενός ἐστι χατίζων,
ἀλλὰ δὲ τῶν θνητῶν ἀρχὸς μούνοιο θεοῖο.
τοὔνεκα ζηλώσεις αὐτὸν, καὶ δαίσεαι ἦτορ
ἀμφ' ἱκετεύουσιν καὶ τοῖς θεράπουσι τεοῖσιν,
ὡς σέθεν εἰν αὐλῇ λεύσσωσιν τ' ὄλβια πολλά.
σοὶ δ' ἐλεεῖν φαύλους δ' ἀφαύλους λώϊόν ἐστι,
ἢ τούτους βλάπτειν διὰ φαύλους ἠπεροπευτάς.

LXIIII.

Αἰτίζων σέθεν συγγνώμην ἀμπλακιάων,
καί σε βλάπτουσιν σαυτὸν συγγνώμον' ὄπαζε·
ἔνδοσις οὖν ἐστιν τῆς ἄλλης ἀντιδοθεῖσα,

Σκῆπτρον βασιλείας παρὰ θεοῦ δεξάμενος, σκέπτου πῶς ἀρέσεις τῷ τοῦτό σοι δεδωκότι, καὶ ὡς πάντων ἀνθρώπων ὑπ' αὐτοῦ προτιμηθεὶς, πλέον πάντων ἐπείγου καταγεραίρειν αὐτόν. τοῦτο δὲ γέρας ἡγεῖται μέγιστον, ἂν ὡς αὐτὸν τοὺς ὑπ' αὐτοῦ διαπλασθέντας ὁρᾷς, καὶ ὡς χρεῶν καταβολὴν τὰς εὐποιίας πληροῖς.

Sceptrum imperii quum à Deo ſuſceperis, cogitato quibꝰ nam modis placebis, qui id tibi dedit, & quũ omnib. hominib. ab eo ſis prælatus, præ aliis omnibus eum honeſtare feſtina. Porrò id ipſe honeſtamentum arbitratur maximum, ſi quaſi ipſum à ſe factos tuearis, atque ut debiti exolutionem, benefaciendi munus adimpleas.

Τρέχειν μὲν εἰς τὴν ἄνω βοήθειαν πᾶς ἄνθρωπος ὀφείλει, ὁ σωτηρίας γλιχόμενος, ὁ βασιλεὺς δὲ πρὸ πάντων, ὡς μεριμνῶν ὑπὲρ πάντων. ὑπὸ τοῦ θεοῦ γὰρ φυλαττόμενος, καὶ τοὺς πολεμίους καταγωνίζεται γενναίως, καὶ τοὺς οἰκείους κατασφαλίζεται σπουδαίως.

Recurrere ad ſupernum auxilium quum homo quivis debet, ſalutem qui expetat. Ante omnes Imperator, utpote qui pro omnibus ſolicitus eſt. Quum enim à Deo cuſtodiatur, tam hoſtes generoſa manu debellat, quàm ſuos ſedulò communit.

Ο μὲν θεὸς οὐδενὸς δεῖται, ὁ βασιλεὺς δὲ μόνου θεοῦ. μιμοῦ τοίνυν τὸν οὐδενὸς δεόμενον, καὶ δαψιλεύου τοῖς αἰτοῦσι τὸν ἔλεον, μὴ ἀκριβολογούμενος περὶ τοὺς σοὺς οἰκέτας, ἀλλὰ πᾶσι παρέχων τὰς πρὸς τὸ ζῆν αἰτήσεις. πολὺ γὰρ κρεῖττόν ἐστι διὰ τοὺς ἀξίους ἐλεεῖν καὶ τοὺς ἀναξίους, ἢ τοὺς ἀξίους ἀποστερεῖν διὰ τοὺς ἀναξίους.

Deus nulla re indiget, Imperator ſolo Deo. Imitare igitur nullius indigum, petentibusq; fac uberē miſericordiæ copiã, nõ exacta & ad vivum reſecante rem ratione impenſarum tuũ erga famulatum utens, ſed omniũ de ſuſtinēda vita petitionib. ſatisfaciens. Longè .n. ſatius eſt merito dignorũ etiam indignis miſereri, quàm indignorũ vitio dignos iis defraudare quæ merentur.

Συγγνώμην αἰτούμενος ἁμαρτημάτων, συγγίνωσκε καὶ αὐτὸς τοῖς εἰς σὲ πλημμελοῦσιν, ὅτι ἀφέσει ἀντιδίδοται ἄφεσις, καὶ τῇ πρὸς

Veniã quũ delictorũ tuorum petas, ipſe quoq; te offendentibus ignoſce, quoniã remiſsioni tribuitur remiſsio, noſtræq; cũ

Early European Books, Copyright © 2009 ProQuest LLC.
Images reproduced by courtesy of the Royal Library, Copenhagen.
LN 308 4° copy 2

ἠδὲ νόῳ ἕνα θυμὸν ἔχειν καὶ ἐπίφρονι βουλῇ
ὑμᾶς καὶ δούλους, περὶ θεὸν αἰὲν ἐόντα.

LXV.

Πάντα ἀνεγκλήτως λαοῖς ἐθέλοντα ἀνάσσειν,
σφόδρα φυλασσέμεναι δεῖ καὶ τ' ἔξωθεν ὄνειδος,
πρόσθεν καὶ ἄλλων αὐτὴν τιμῇσι γεραίρειν
εὐαγέσιν, μὴ καὶ τελέσῃ ἀεσίφρονι θυμῷ
ἀμπλακίην, ἢ καὶ ἀλιτραίνῃ νόσθεν ἐκείνων,
εἰ γὰρ ἀνασσόμενος τιμάων ἄξιός ἐστι,
πλεῖον ἄναξ ἔσεται τούτων καὶ στρατιάων.

LXVI.

Τοῦ ἰδίου, ῥέζειν τὰ ἀτάσθαλα καὶ κακὰ ἔργα
ἄξια τῶν βασάνων, κακότης ἡ ἐστὶ πονηρή·
ἀλλὰ δὲ κρείοντος μοχθηροῦ ὀφέλσιμα πάντη
πρήγματα ῥεζέμεναι φαύλως μυσαρῶς τ' ἀπολήγει.
ἡ δὲ κακῶν φύξις τὸν κρείονα μηδὲ δικαιοῖ,
ἀλλὰ καλῶν πρῆξις στεφανοῖ τοιοῦτον ἀληθῶς.
τοὔνεκα μὴ μοῦνον κακότητος σφόδρ' ἀπεχέσθω,
ἀλλὰ δικαιοσύνης γλυκερῆς μάλα δηρὸν ἐχέσθω.

LXVII.

Οὐ μὲν πορφύρεος τιμῶν ἀμαρύγματα δείδει·
πάντων γὰρ δή ἐστιν θάνατον καὶ πότμον ἐπισπεῖν·
οὖν περὶ ἐπηλυσίης στυγερῆς κ' αὐτοῖο ἀφύκτου
πλοῦτον θεσπέσιον μεταρῶμεν πρὸς τὸν ὄλυμπον.
οὐκ ἔνι ἐπιχθόνιον τὰ χρήματα ἔνθα ἄγεσθαι,

τὴν πρὸς τοὺς ὁμοδούλους ἡμῶν καταλλαγῇ, ἡ πρὸς θεὸν φιλία καὶ οἰκείωσις.

Δεῖ τὸν ἀμέμπτως ἀνάσσειν ἐσπουδακότα, καὶ τὰς τῶν ἔξωθεν ἀδοξίας φυλάττεσθαι, καὶ ἑαυτὸν πρὸ ἐκείνων αἰσχύνεσθαι· ἵνα καὶ τοῦ φανερῶς ἁμαρτάνειν δι᾽ ἐκείνους ἀπέχηται, καὶ τοῦ κατ᾽ ἰδίαν πλημμελεῖν ὑφ᾽ ἑαυτοῦ κωλύηται. εἰ γὰρ οἱ ὑπήκοοι αἰδοῦς ἄξιοι φαίνονται, πολλῷ πλέον ὁ βασιλεὺς ἄξιος ταύτης γίνεται.

Ἰδιώτου μὲν εἶναι κακίαν φημὶ, τὸ πράττειν φαῦλα καὶ κολάσεως ἄξια· ἄρχοντος δὲ πονηρίαν, τὸ μὴ ποιεῖν τὰ καλὰ, καὶ σωτηρίας πρόξενα. οὐ γὰρ ἡ τῶν κακῶν ἀποχὴ δικαιοῖ τὸν κρατοῦντα, ἀλλὰ ἡ τῶν καλῶν παροχὴ στεφανοῖ τὸν τοιοῦτον. μὴ μόνον τοίνυν πονηρίας ἀπέχεσθαι λογιζέσθω, ἀλλὰ καὶ δικαιοσύνης ἀντέχεσθαι σπουδαζέτω.

Ἀξιωμάτων λαμπρότητας οὐ δυσωπεῖται ὁ θάνατος· κατὰ πάντων γὰρ ἐπιβάλλει τοὺς παμφάγους αὐτοῦ ὀδόντας. οὐκοῦν πρὸ τῆς ἐκείνου ἀπαραιτήτου παρουσίας, μεταθῶμεν εἰς οὐρανὸν τὴν τῶν χρημάτων περιουσίαν. οὐδεὶς γὰρ ἃ ἐν κόσμῳ συνάγει, ἐκεῖσε ἀποδημήσας ἀπάγει, ἀλλὰ

conſervis noſtris reconciliationi, Dei amicitia & familiaritas.

Qui inculpabiliter principem agere ſtudet, cùm notas cavere debet, quæ forinſecus inuruntur, tum ſeipſum ante alios verecundari, ut & apertè delinquere abſtineat propter alios, & à ſeipſo cohibeatur, quo minus privata ſeorſum flagitia committat. Si enim ſubditi reverentia digni ſunt, multò magis ea dignus Imperator efficitur.

Privati vitium eſſe aſſero, patrare prava, ſupplicioq; digna: Principis verò culpam, non facere quæ honeſta ſunt, quæq; ſalutem pariunt: Neque enim malorum abſtinentia juſtificat Imperatorem, ſed bonorum editio coronat eundem. Ne igitur malitia duntaxat abſtinere cogitet, ſed juſtitiam etiam capeſſere contendat.

Dignitatum ſplendores mors haud reformidat: omnibus enim voraces ſuos dentes infligit. Ergò ante illius indeprecabilem adventum, opum copiam transportemus in cælum. Nemo .n. quæ colligit in mundo, illuc profectꝰ abducit,

ſed

ἐνθάδε ἀλλὰ λιπὼν ἐπὶ γαίης ὀκρυοέσσης.
γυμνὸς τοῦ βιότου λόγον αὐτὸς ἐκεῖσε δίδωσι.

LXVIII.

Κύριος, ὁ κρείων, λαῶν μὲν δ᾽ ἐστὶν ἁπάντων,
ἄτμενος ἀλλὰ θεοῦ μετ᾽ ἐκείνων ὑψιθρόνοιο,
κύριος ἠδὲ τέως θνητοῦ παρὰ παντὸς ἀκούει,
ὁππότε ὀτραλέως κρατέει καὶ αὐτὸς ἑαυτοῦ,
καὶ στατέλης ἀτόποις δουλευέμεναι ἀπελήγει.
αὐτὸς μὲν δὲ ἔχων ἐν τῇς πραπίδεσσι λογισμὸν
σώφρονα, τῶν φαύλων παθέων δμητῆρα ἄτρεπτον.
σωφροσύνης πινυτῆς τοῖς ἔντεσι δαιδαλέοισι
δάμναται εὐμαρέως ἀδαμάστους πάντας ἔρωτας.

LXIX.

Σώματι ὡς ἕπεται ἀνθρώπων ἡ σκιαδίσκη·
οὕτω ἀλιτροσύνη πᾶσα ψυχῇσιν ὀπηδεῖ
τὰς πρήξεις φανερῶς καὶ ἀπεικάζουσα ἐναργῶς.
τοὔνεκα ἀρνεῖσθαι μὴ ἔνι προπέροιθε δικαστοῦ.
αὐτὰ δ᾽ ἑκάστοιο θνητοῦ ἔκποθεν ἰωῆς
πρήγματα μαρτυρέειν ἵνα ἐσσυμένως ἀγορεύσει.
ἢ μάλα δηλώσει παρὰ ἡμῶν οἷα ἐπράχθη.

LXX.

Ολκάδι ποντοπόρῳ πανομοιΐος ἐστὶ βιώνη
ἡμῶν πλαζομένη, κ᾽ αὐτῆς πλωτῆρας ἀκώπους
αἰκάλλει καί τε πρόσκαιρον εὕρει ἑαυτοῦ
τὸν δρόμον ὡς ἴδιον τέκμωρ πέμπουσα ἕκαστον.
τοὔνεκα λυσσαλέου τὰ ἀλήμονα πρήγματα κόσμου
ἀνέρα γνωμοτύπον δεῖ ἀλμίγισιν ἰάλλειν,
καί τε διηνεκέως τ᾽ αἰώνια κηρόθι στέργειν.

ἀλλὰ πάντα καταλιπὼν ἐπὶ γῆς, γυμνὸς λογοθετεῖται τὸν βίον αὐτοῦ.

ſed omnibus in terra derelictis, nudꝰ de vita ſua reddit rationẽ.

Κύριος μὲν πάντων ἐστὶν ὁ βασιλεύς, δοῦλος ἢ μετὰ πάντων ὑπάρχει θεοῦ. τότε δὲ μάλιστα κληθήσεται κύριος, ὅταν αὐτὸς ἑαυτοῦ δεσπόζῃ, καὶ ταῖς ἀτόποις ἡδοναῖς μὴ δουλεύῃ, ἀλλὰ σύμμαχον ἔχων τὸν εὐσεβῆ λογισμόν, τὸν ἀήττητον αὐτοκράτορα τῶν ἀλόγων παθῶν, τοὺς πανδαμάτορας ἔρωτας τῇ πανοπλίᾳ τῆς σωφροσύνης καταγωνίσεται.

Imperator ut eſt omnium dominus, ita cum omnib. Dei ſervus exiſtit. Tum igitur demum vocabitur dominus, quum ipſe ſibi dominari, nec illicitis voluptatib. famulari patietur, ſed adjutricem piam rationem aſſumens, invictam ſcilicet imperatricem animi perturbationum rationis expertium, indomitas cupiditates armatura caſtimoniæ debellabit.

Τὸν τρόπον αἱ σκιαὶ τοῖς σώμασιν ἕπονται· οὕτως αἱ ἁμαρτίαι ταῖς ψυχαῖς ἀκολουθοῦσιν, ἐναργῶς τὰς πράξεις ἐξεικονίζουσαι· διὰ τοῦτο οὐκ ἔστιν ἐν τῇ κρίσει ἀρνήσασθαι· αὐτὰ γὰρ ἑκάστου καταμαρτυρήσει τὰ πράγματα, οὐ φωνὴν ἀφιέντα, ἀλλὰ τοιαυτα φανέντα, οἷα παρ' ἡμῶν ἐπράχθησαν.

Quemadm. umbræ corpora ſectantur: Sic animas flagitia comitantur, evidenti effigie actiones exprimentia: Ideo non licet in judicio negare: Ipſa .n. uniuſcujuſq; opera obteſtabuntur haud ſanè vocem emittendo, ſed talia prorſus ſeſe repræſentando, qualia jam à nobis patrata fient.

Νηὸς ποντοπορούσης μιμεῖται διάβασιν ἡ βραχυτελὴς τοῦ παρόντος βίου κατάστασις, ἡμᾶς τοὺς αὐτῆς πλωτῆρας λανθάνουσα καὶ κατὰ μικρὸν παρασύρουσα δρόμον, καὶ πρὸς ἴδιον ἑκάστου παραπέμπουσα τέλος. εἰ τοίνυν ταῦθ' οὕτως ἔχει, παραδράμωμεν τὰ παρατρέχοντα τοῦ κόσμου πράγματα, καὶ προσδράμωμεν τοῖς εἰς αἰῶνας τῶν αἰώνων μένουσιν.

Navis per mare commeantis imitatur tranſitũ momentanea præſentis vitę conditio, qua ſanè nos nautas fallens ſuos, & pedetentim cunctanti raptans curſu, tandem ad ſuum cujuſq; exitum perducit. Si igitur hæc ita ſe habent, prætercurramus, præcurrentia mundi negotia, adcurramusq; his, quæ ad ſecula ſeculorum permanent.

Early European Books, Copyright © 2009 ProQuest LLC.
Images reproduced by courtesy of the Royal Library, Copenhagen.
LN 308 4° copy 2

LXXI.

Οὐ γὰρ ὑπερφίαλος χ᾽ ὑπὲρ ὀφρύος ὕψος ἀείρων
μηδὲ ἀναιρέσθω ταῦρος κατὰ εὐρυμέτωπος·
ἀλλὰ δὲ φραζόμενος τῆς σαρκὸς ὑπόστασιν αὐτοῦ,
φρικτὸν τὸν κόμπον θυμὸν καὶ ἀγλώσσα παύσει.
κἂν ἀνὰ τὴν τραφερήν τε καὶ ὑγρὴν κοίρανος ἦσι.
ἔμπης φραζέσθω αὐτὸν χθονὸς αἷμα κομίσσαι·
ἐκ γὰρ τῆς κονίης στείχει ὡς θῶκον ἀγαυὸν,
καὶ πάλιν εἰς αὐτὴν χθαμαλὴν καταβαίνει ἐκεῖθεν.

LXXII.

Ὥσπερ δ᾽ ὑψηλὴν τὴν κλίμακα οἷο δόμοιο
προβαίνειν ἐθέλων σὺ πρὶν ἀνόδου ἀπολήγει,
ἔσχατον ἂν βαθμὸν τῆς κλίμακος αὐτὸς ἱκάνῃ·
οὕτω, ἀνήοσητος βασιλεὺς, καλὰ πρήγματα ῥέζων.
ὀτραλέως αὐτῶν δεῖ σαυτὸν ἀνήλυσιν ἴσχειν
ἥνα διὰ ἀθανάτων ἀναβήσεαι αἰπέα θῶκον·
ἔνθα μεγασθενέτης παντοίης κοίρανος ἀρχῆς
Ιησοῦν χριστὸν διὰ εὔχαριν ἠὸν, ἄνακτα
ἡμείων, σαυτὸν καὶ ἄκοιτιν ἀμύμονα σεῖο
μελλούσῃ θήσει· Τόδε μοι τετελεσμένον ἔσται.

Ἀμήν.

Ο σοβαρὸς καὶ ὑπέροφρυς ἄνθρωπος, μὴ ὡς ταῦρος ὑψίκερως ἐπαιρέσθω· ἀλλὰ ἐννοείτω τῆς σαρκὸς τὴν ὑπόστασιν, καὶ παυέτω τῆς καρδίας τὴν ἔπαρσιν. εἰ γὰρ καὶ γέγονεν ἄρχων ἐπὶ γῆς, μὴ ἀγνοείτω ὑπάρχων ἐκ τῆς γῆς ἀπὸ χοὸς ἐπὶ θρόνον ἀναβαίνων, καὶ εἰς αὐτὸν μετὰ χρόνον καταβαίνων.

Σπούδαζε διαπαντὸς ἀήττητε βασιλεῦ, καὶ ὥσπερ οἱ τὰς κλίμακας ἀναβαίνειν ἀρξάμενοι, οὐ πρότερον ἵστανται τῆς ἐπὶ τὰ ἄνω φορᾶς, πρὶν ἂν τῆς ἄκρας ἐφίκωνται βαθμίδος. οὕτω καὶ αὐτὸς ἔχου τῆς τῶν καλῶν ἀναβάσεως, ὅπως ἂν καὶ τῆς ἄνω βασιλείας ἀπολαύσειας, ἣν σοι παράσχοι Χριστὸς μετὰ τῆς ὁμοζύγου, ὁ βασιλεὺς τῶν βασιλευόντων καὶ βασιλευομένων, εἰς τοὺς αἰῶνας.

Ἀμήν.

Faſtuoſus & ſuperciliosſus homo, ne ut taurus alticornis elevetur: ſed animadvertens carnis ſubſiſtentiam, ſedare debet cordis inſolentiam. Nam etſi factus eſt princeps in terra, ne tamen ignoret ſeſe terrenum ex pulvere ad ſoliū conſcendiſſe, atque in pulverem tandem deſcendere debere.

Studeto ſemper, Invictiſsime Imperator, ut, ſicuti ſcalas qui ſcandunt, non prius deſiſtunt, aut ad ſuperiora ferri deſinunt, quàm ad ſupremum perveniant gradum, tu quoq; jugiter honeſtorum aſcenſum continues: ſic fiet ut cœleſtis quoq; regni fructū aliquando percipias, quem utinam tibi tribuat & conjugi, Chriſtus Rex omnium qui regnāt & qui regnantur, in ſecula.

AMEN.

Early European Books, Copyright © 2009 ProQuest LLC.
Images reproduced by courtesy of the Royal Library, Copenhagen.
LN 308 4° copy 2

ΜΑΝΟΥΗΛ τοῦ ΠΑΛΑΙΟ-ΛΟΓΟΥ βασιλέως, σεβαστοῦ εὐχὴ κεφάλαια κατανυκτικὰ περιέχουσα.

Διὰ τὸ μὴ εἶναί με
ἄξιον σοῦ μεταχεῖν,
νῦν ὁρᾷς μου τὴν ψυχὴν
τελευτῶσαν ἐν λιμῷ·
ἣν καὶ θρέψον σπλαγχνισθεὶς,
Σῶτερ, ἄρτῳ ζωηρῷ,
ὁ δι᾽ οἶκτον τοῖς πιστοῖς
δοὺς τροφὴν σαυτὸν Χριστέ.

Ὡς ὁ πλούσιος, κἀγὼ
δίψῃ τήκομαι πικρᾷ,
φλόγα ἔχων ἔνδοθεν,
ἐμαυτοῦ τὸ συνειδὸς.
ἡ πηγὴ δὲ τῆς ζωῆς
πότισόν με ὕδωρ ζῶν,
ὁ φωνήσας ἅπαντας
τοὺς διψῶντας σοὶ φοιτᾶν.

Ἀκρασία ξένον με
τῆς Ἐδὲμ πεποίηκε·
καὶ τὸ μακρυνθῆναί με
ἀπὸ σοῦ, φεῦ, τοῦ θεοῦ.
σὺ δέ με συνάγαγε,
ὃς τὸν οὐρανὸν οἰκῶν,
ὤφθης ξένος ἐπὶ γῆς,
ξένῳ τόκῳ δι᾽ ἐμέ.

Imperatoris Cæſ. MANVELIS PALÆOLOGI Aug. Precatio: capita compunctionis continens.

Quod ipſe dignus haud ſim,
Qui particeps tui eſſe
Queam: fame en perire
Animam vides miſellam.
Vitæ hanc alas miſertus,
Servator, oro, pane;
Fidelibus teipſum
Qui Chriſte das edendum.

Vt ille dives olim,
Siti liqueſco acerba;
Flammaq; aduror intus,
Quæ conſcientia ipſa eſt.
Vitæ perennis at tu
Fons, irrigato me unda
Viva: ſitim ferentes
Qui ad te jubes venire.

Incontinentia olim
Me ejecit horto Edenis,
Diremtus atque noſtro
Abs te Deo nefandus.
Tu colligas viciſſim
Me, qui polo repoſtus,
Me propter, hoſtes imis
Partu novo fuiſti

Τὴν

Τὴν οὐσίαν φθείρας, φεῦ,
Σὺν φρεσὶ, γεγύμνωμαι.
σὺ δέ με τὸν ἄσωτον
Σῶτερ σκέπασον στολῇ,
ὅς γε τούτου ἕνεκα
τὴν ἐμὴν ἐνδέδυσαι
σάρκα, καὶ γεγύμνωσαι
σὺν λῃσταῖς σταυρούμενος.
Νόσῳ με τρυχόμενον,
καὶ ἐν φυλακῇ δεινῶς,
(ἄμφω γάρ ἐστιν ἐμοὶ,
ἀμαρτία ἡ ἐμὴ.)
Σῶτερ ἐπιδήμησον
πρός με τῷ ἐλέει σου,
ὁ φανεὶς πᾶσι σαρκὶ
ῥύστης τε καὶ ἰατρός.

Sum nudus ipſe, mente
Amiſſa, eheu, boniſq;
Tu prodigum ſtola me
Benigne Chriſte veſti:
Qui propter hancce cauſſam
Carnem meam induiſti,
Nudusq; mortem obiſti
Inter malos latrones,

Morbo ſimul, graviq;
Me carceri illigatum,
(Delicta namque propter,
Vtrumque mi ſerendum,)
Inviſe quæſo Chriſte
Tua benignitate.
Medicus tu es redemtor,
Homo factus, univerſis.

Early European Books, Copyright © 2009 ProQuest LLC.
Images reproduced by courtesy of the Royal Library, Copenhagen.
LN 308 4° copy 2

Early European Books, Copyright © 2009 ProQuest LLC.
Images reproduced by courtesy of the Royal Library, Copenhagen.
LN 308 4° copy 2

Early European Books, Copyright © 2009 ProQuest LLC.
Images reproduced by courtesy of the Royal Library, Copenhagen.
LN 308 4° copy 2

Early European Books, Copyright © 2009 ProQuest LLC.
Images reproduced by courtesy of the Royal Library, Copenhagen.
LN 308 4° copy 2

Early European Books, Copyright © 2009 ProQuest LLC.
Images reproduced by courtesy of the Royal Library, Copenhagen.
LN 308 4° copy 2

Early European Books, Copyright © 2009 ProQuest LLC.
Images reproduced by courtesy of the Royal Library, Copenhagen.
LN 308 4° copy 2

Early European Books, Copyright © 2009 ProQuest LLC.
Images reproduced by courtesy of the Royal Library, Copenhagen.
LN 308 4° copy 2